# ΑΝΤΙΓΟΝΗ

ΑΝΤΙΓΟΝΗ

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ' οἶσθ' ὅ τι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν οὔτ' ἄτης ἄτερ
οὔτ' αἰσχρὸν οὔτ' ἄτιμόν ἐσθ', ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ' αὖ φασι πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

ΙΣΜΗΝΗ

ἐμοὶ μὲν οὐδεὶς μῦθος, Ἀντιγόνη, φίλων
οὔθ' ἡδὺς οὔτ' ἀλγεινὸς ἵκετ' ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,
μιᾷ θανόντοιν ἡμέρᾳ διπλῇ χερί·
ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
οὔτ' εὐτυχοῦσα μᾶλλον οὔτ' ἀτωμένη.

Αν. ᾔδη καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.

Ισ. τί δ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.

2 ὅ τι (ὅ, τι) L Σ rec: ὅτι Hermann     4 οὔτ' ἄτης ἄτερ corrupta et iam a Didymo in quaestionem vocata: οὐδ' ἄτης ἄτερ anon.: οὔτ' ἄγης ἄτερ Koraes: alii alia     5 οὐ] οὐχὶ L[ac] rec     7 τί] τι Σ     10 τῶν] τὰξ coni. Blaydes     13 δύω L[ac]     14 θανόντοιν Blaydes: θανόντων codd.     15 Ἀργεῖος L[s] A     18 ᾔδη Σ: ᾔδειν L A rec: ᾔδην (ει sscr.) Lb     20 καλχαίνουσ' L A[γρ] Σ: χαλκαίνουσ' A

Αν. οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων
τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μέν, ὡς λέγουσι, σὺν δίκῃ
†χρησθεὶς δικαίᾳ† καὶ νόμῳ, κατὰ χθονὸς
ἔκρυψε τοῖς ἔνερθεν ἔντιμον νεκροῖς,
τὸν δ' ἀθλίως θανόντα Πολυνείκους νέκυν
ἀστοῖσί φασιν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφῳ καλύψαι μηδὲ κωκῦσαί τινα,
ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν εἰσορῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ
κἀμοί, λέγω γὰρ κἀμέ, κηρύξαντ' ἔχειν,
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσιν
σαφῆ προκηρύξοντα, καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδέν, ἀλλ' ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα
εἴτ' εὐγενὴς πέφυκας εἴτ' ἐσθλῶν κακή.
Ισ. τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
λύουσ' ἂν εἴθ' ἅπτουσα προσθείμην πλέον;
Αν. εἰ ξυμπονήσεις καὶ ξυνεργάσῃ σκόπει.
Ισ. ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ' εἶ;
Αν. εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
Ισ. ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει;
Αν. τὸν γοῦν ἐμὸν καὶ τὸν σόν, ἢν σὺ μὴ θέλῃς,
ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.

24 sq. *χρησθεὶς δικαίᾳ* vix sana : quid sibi voluerit Σ (*δικαίᾳ κρίσει χρησάμενος*) etiam coll. Σ ad O.T. 492 et 510 parum liquet : alii alia : v. 24 del. Wunder    27 *φασὶν* L (ex *φησὶν* factum)    29 *ἄκλαυτον ἄταφον* Lb : *ἄκλαυστον ἄταφον* A rec : *ἄταφον ἄκλαυτον* L rec    30 *εἰσορμῶσι* anon. ap. Burtonum    31 *Κρέοντα σοὶ* rec : *Κρέοντά σοὶ* L : *Κρέοντά σοι* A rec    33 *τοῖσι* Heath : *τοῖς* codd.    34 *προκηρύξοντα* A rec : *προκηρύξαντα* L$^{c}$ rec : *προκηρύσσοντα* L$^{ac}$ Ven    *ἄγειν*] *ἔχειν* rec    40 *εἴθ' ἅπτουσα* Porson : *ἢ θάπτουσα* L A rec : *ἢ 'φάπτουσα* Σ$^{γρ}$ (*φ* ex *θ* facto)    42 *ποῦ* A rec : *ποῖ* L rec Σ    44 *ἦ*] *εἰ* L$^{ac}$
46 spurium apud antiquos habitum esse testatur Σ (*Δίδυμός φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν νενοθεῦσθαι*)

Ἰσ. ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;
Αν. ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν ⟨μ'⟩ εἴργειν μέτα.
Ισ. οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ
ὡς νῷν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο,
πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί·
ἔπειτα μήτηρ καὶ γυνή, διπλοῦν ἔπος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
τρίτον δ' ἀδελφὼ δύο μίαν καθ' ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον
κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν.
νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα σκόπει
ὅσῳ κάκιστ' ὀλούμεθ', εἰ νόμου βίᾳ
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν γυναῖχ' ὅτι
ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα·
ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων
καὶ ταῦτ' ἀκούειν κἄτι τῶνδ' ἀλγίονα.
ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε,
τοῖς ἐν τέλει βεβῶσι πείσομαι. τὸ γὰρ
περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.
Αν. οὔτ' ἂν κελεύσαιμ' οὔτ' ἄν, εἰ θέλοις ἔτι
πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα.
ἀλλ' ἴσθ' ὁποῖά σοι δοκεῖ, κεῖνον δ' ἐγὼ
θάψω. καλόν μοι τοῦτο ποιούσῃ θανεῖν.
φίλη μετ' αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ'· ἐπεὶ πλείων χρόνος

47 ἀντιρρηκότος A 48 μ' add. Brunck 53 ἔπος L A$^{\gamma\rho}$ rec Σ : πάθος L$^{s}$ A rec 55 δύο rec : δύω L A rec 56 αὐτοκτονοῦντε Erfurdt (αὐτοκτονοῦντε Coraes) : αὐτοκτενοῦντε L A rec : αὐτοκτενοῦντες rec 57 ἐπαλλήλοιν Hermann μόρον et χεροῖν invicem mutavit Hartung 58 δ' om. L$^{ac}$ 63 κρειττόνων (σσ sscr.) L 68 sqq. post πράσσειν (68) usque ad πράσσειν (70) casu omisit sed postea supplevit L 70 ἐμοῦ γ'] ἐμοί γ' Meineke 71 ὁποῖα L A Σ : ὁποία rec Σ

ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε.
ἐκεῖ γὰρ αἰεὶ κείσομαι· σοὶ δ' εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε.
Ισ. ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος.
Αν. σὺ μὲν τάδ' ἂν προὔχοι'· ἐγὼ δὲ δὴ τάφον
χώσουσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι.
Ισ. οἴμοι, ταλαίνης ὡς ὑπερδέδοικά σου.
Αν. μὴ 'μοῦ προτάρβει· τὸν σὸν ἐξόρθου πότμον.
Ισ. ἀλλ' οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ' αὔτως ἐγώ.
Αν. οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσῃ
σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
Ισ. θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
Αν. ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλισθ' ἁδεῖν με χρή.
Ισ. εἰ καὶ δυνήσῃ γ'· ἀλλ' ἀμηχάνων ἐρᾷς.
Αν. οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
Ισ. ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
Αν. εἰ ταῦτα λέξεις, ἐχθαρῇ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσῃ δίκῃ.
ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
Ισ. ἀλλ' εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ' ἴσθ', ὅτι
ἄνους μὲν ἔρχῃ, τοῖς φίλοις δ' ὀρθῶς φίλη.

ΧΟΡΟΣ

ἀκτὶς ἀελίου, τὸ κάλ- στρ.
λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν πρότερον φάος,

76 σοὶ] σὺ Elmsley 83 μή μου codd.: corr. Schaefer πότμον L: βίον A rec Σ^γρ 85 αὔτως Ven: αὕτως L A rec 89 μάλιστ' ἀδεῖν L A rec 93 ἐχθαρῇ L² γρ A rec: ἐχθρανῇ L rec 94 δίκῃ] κάσει Dindorf: κάτω L. Dindorf 96 οὐ] οὖν Elmsley 100 ἀελίου L^ac rec Σ^l Eustath. 161, 18: ἀελίοιο L^c A rec 102 πρότερον A: προτέρων L rec

ἐφάνθης ποτ', ὦ χρυσέας
ἁμέρας βλέφαρον, Διρκαί-
ων ὑπὲρ ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν †'Αργόθεν
φῶτα βάντα πανσαγίᾳ
φυγάδα πρόδρομον ὀξυτέρῳ
κινήσασα χαλινῷ·

ὃν ἐφ' ἁμετέρᾳ γᾷ Πολυνείκης
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
. . . . . . ὀξέα κλάζων
αἰετὸς ἐς γᾶν [ὣς] ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ' ὅπλων
ξύν θ' ἱπποκόμοις κορύθεσσι.

στὰς δ' ὑπὲρ μελάθρων φονώ- ἀντ.
σαισιν ἀμφιχανὼν κύκλῳ
λόγχαις ἑπτάπυλον στόμα
ἔβα, πρίν ποθ' ἁμετέρων
αἱμάτων γένυσιν πλησθῆ-
ναί τε καὶ στεφάνωμα πύργων
πευκάενθ' Ἥφαιστον ἑλεῖν.
τοῖος ἀμφὶ νῶτ' ἐτάθη
πάταγος Ἄρεος, ἀντιπάλου
δυσχείρωμα δράκοντος.

Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει, καί σφας ἐσιδὼν

106 'Αργόθεν codd. : 'Αργεῖον Boeckh : ἀπ' 'Αργόθεν Erfurdt : 'Αργόθεν ἐκ Hermann : 'Ιναχόθεν Mekler  108 ὀξυτέρῳ rec Σ : ὀξυτόρῳ L A rec  110 ὃν] ὃς Scaliger  ἁμετέρᾳ A rec : ἡμετέρᾳ L rec  Πολυνείκους Scaliger  112 lacunam notavit Erfurdt  ἤγαγεν· ἐχθρὸς δ' supplevit Nauck (ἤγαγεν fortasse legerat Σ)  113 ὣς del. Hermann  117 sq. φονώσαισιν Bothe (φόνων ἐρώσαις Σ) : φονίαισιν L A rec : φοινίαισιν rec : φοναῖσιν Lb (ex φονῶσιν)  122 τε add. Turneb  126 ἀντιπάλου . . . δράκοντος $L^s A^s$ rec : ἀντιπάλῳ . . . δράκοντι L A rec Σ  128 ἐσιδὼν A rec : εἰσιδὼν $L Σ^l$

πολλῷ ῥεύματι προσνισομένους,
χρυσοῦ καναχῆς ὑπερόπτας,
παλτῷ ῥιπτεῖ πυρὶ βαλβίδων
ἐπ' ἄκρων ἤδη
νίκην ὁρμῶντ' ἀλαλάξαι·

ἀντιτύπᾳ δ' ἐπὶ γᾷ πέσε ταντალωθεὶς στρ.
πυρφόρος ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ
βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.
εἶχε δ' ἄλλᾳ τὰ μέν,
ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώ-
μα στυφελίζων μέγας Ἄ-
ρης δεξιόσειρος.

ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε καθ' αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ' ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.

ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα ἀντ.
τᾷ πολυαρμάτῳ ἀντιχαρεῖσα Θήβᾳ,
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν θέσθαι λησμοσύναν,
θεῶν δὲ ναοὺς χοροῖς

129 προσνισομένους L A rec Σ : προσνισσομένους rec 130 καναχῆς] καναχῇ θ' Emper ὑπερόπτας $L^{2s}$ $A^{s}$ : ὑπεροπτίας L A rec Σ : ὑπεροπτεΐας Lb : ὑπερόπτα E : ὑπεροπλίας Dorville : ὑπεροπλίαις Vauvilliers 134 ἀντιτύπᾳ (quod coni. Porson) Ven : ἀντίτυπα L A rec $Σ^{1}$ : ἀντιτύπως $L^{2}$ Ven $c^{2}$ : ἀντίτυπος rec 138 ἄλλᾳ τὰ μέν $L^{c}$ Ven c : ἄλλα τὰ μέν A : ἄλλα τὰ δ' $L^{ac}$ : ἄλλα rec : ἄλλῃ τάδ' T Tricl e vetere libro 139 ἄλλα δ' ἐπ' ἄλλοις T Tricl : ἄλλαι τὰ δ' ἐπ' ἄλλοις L : ἄλλᾳ τάδ' ἐπ' ἄλλοις A : δεινὰ τὰ δ' ἐπ' ἄλλους Ven 140 δεξιόσειρος $L^{c}$ A rec Σ : δεξιόχειρος $L^{ac}$ Σ 151 θέσθαι $L^{ac}$ rec : θέσθε $L^{c}$ A rec λησμοσύνην codd. : corr. Brunck

*παννυχίοις πάντας ἐπέλ-*
*θωμεν, ὁ Θήβας δ' ἐλελί-*
*χθων Βάκχιος ἄρχοι.*

*ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας,*
*Κρέων ὁ Μενοικέως, . . . . νεοχμὸς*
*νεαραῖσι θεῶν ἐπὶ συντυχίαις*
*χωρεῖ τίνα δὴ μῆτιν ἐρέσσων,*
*ὅτι σύγκλητον τήνδε γερόντων*
*προὔθετο λέσχην,*
*κοινῷ κηρύγματι πέμψας;*

ΚΡΕΩΝ

*ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ*
*πολλῷ σάλῳ σείσαντες ὤρθωσαν πάλιν·*
*ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα*
*ἔστειλ' ἱκέσθαι, τοῦτο μὲν τὰ Λαΐου*
*σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη,*
*τοῦτ' αὖθις, ἡνίκ' Οἰδίπους ὤρθου πόλιν,*
*κἀπεὶ διώλετ', ἀμφὶ τοὺς κείνων ἔτι*
*παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.*
*ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν*
*καθ' ἡμέραν ὤλοντο παίσαντές τε καὶ*
*πληγέντες αὐτόχειρι σὺν μιάσματι,*
*ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω*
*γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.*
*ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν*
*ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν*
*ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.*
*ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν*
*μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,*

152 *παννυχίοις* rec : *παννύχοις* L A rec  153 *ἐλελίχθων* rec Σ^γρ : *ἐλελίζων* L A rec  154 Βακχεῖος codd. Σ : corr. Bothe  156 lacunam notaverunt Erfurdt alii  159 *τίνα*] *τινὰ* A rec  *ἐρέσσων*] *ἑλίσσων* coni. Johnson  162 *πόλεος* A rec : *πόλεως* L rec  169 *ἐμπέδους* Reiske  175–190 adhibuit Demosth. 19. 247

ἀλλ᾽ ἐκ φόβου του γλῶσσαν ἐγκλῄσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον᾽ ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ᾽ ὁρῶν ἀεί,
οὔτ᾽ ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ᾽ ἂν φίλον ποτ᾽ ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι
ἥδ᾽ ἐστὶν ἡ σῴζουσα καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ᾽ ἐγὼ νόμοισι τήνδ᾽ αὔξω πόλιν.
 καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι παίδων τῶν ἀπ᾽ Οἰδίπου πέρι·
Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ᾽ ἀριστεύσας δορί,
τάφῳ τε κρύψαι καὶ τὰ πάντ᾽ ἀφαγνίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς·
τὸν δ᾽ αὖ ξύναιμον τοῦδε, Πολυνείκη λέγω,
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
φυγὰς κατελθὼν ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατάκρας, ἠθέλησε δ᾽ αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῇδ᾽ ἐκκεκήρυκται τάφῳ
μήτε κτερίζειν μήτε κωκῦσαί τινα,
ἐᾶν δ᾽ ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέν τ᾽ ἰδεῖν.

180 ἐγκλείσας codd. Demosth. : corr. Elmsley 182 μείζον᾽ $L^{c}$ A Ven c Demosth. Stob. fl. 45. 15 : μεῖζον $L^{ac}$ Lb ὅστις] εἴ τις Stob. 186 ἀστοῖς] ἆσσον coni. Dobree (Demosthenis verbis στείχουσαν ὁμοῦ obsecutus) 187 χθονὸς] πόλεως $\Sigma^{gl}$ 193 τῶν A Ven c : τῶνδ᾽ L rec 195 δορί] χε(ρί) $L^{s}$: cf. Trach. 488 196 ἀφαγνίσαι A Liv v: ἀφανίσαι Ven c Ald : ἐφαγνίσαι L rec 198 Πολυνείκην codd. : corr. Dindorf 203 ἐκκεκήρυκται τάφῳ Musgrave : ἐκκεκηρύχθαι τάφῳ L A rec : ἐκκεκηρῦχθαι λέγω Nauck (Carneadem ap. Diog. L. 4. 64 secutus) 206 αἰκισθέν τ᾽ A F : αἰκισθέντα (-θέντ᾽) L rec T Tricl

τοιόνδ' ἐμὸν φρόνημα, κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμῇ προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.
Χο. σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως, ποεῖν
τὸν τῇδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει·
νόμῳ δὲ χρῆσθαι παντί, τοῦτ' ἔνεστί σοι
καὶ τῶν θανόντων χὠπόσοι ζῶμεν πέρι.
Κρ. ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων . . . .
Χο. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.
Κρ. ἀλλ' εἴσ' ἑτοῖμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.
Χο. τί δῆτ' ἂν ἄλλο τοῦτ' ἐπεντέλλοις ἔτι;
Κρ. τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
Χο. οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ.
Κρ. καὶ μὴν ὁ μισθός γ' οὗτος. ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ΦΥΛΑΞ

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν·
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη,
τάλας, τί χωρεῖς οἷ μολὼν δώσεις δίκην;
τλήμων, μένεις αὖ; κεἰ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρός, πῶς σὺ δῆτ' οὐκ ἀλγυνῇ;

208 τιμῇ Linwood: τιμὴν codd. 210 ἐξ ἐμοῦ rec Σ$^{γρ}$ : ἔκ γ' ἐμοῦ L A Ven c 211 ποιεῖν Lb$^{mg}$ (coni. Martin): Κρέον L$^{c}$ A rec: Κρέων L$^{ac}$: τὸ δρᾶν Bellermann: cf. 1098 212 καὶ] κὰς Dindorf 213 τοῦτ' ἔνεστί scripsi coll. Trach. 458: πουτ' (που τ') ἔνεστί L A rec: ποτ' ἔνεστί rec: πού γ' ἔνεστί Erfurdt: που πάρεστί Dindorf 215 ὡς . . . ἦτε] πῶς . . . εἶτε Dindorf 217 γ' Brunck: τ' codd. 218 ἄλλο L$^{s}$ rec: ἄλλωι L rec: ἄλλω A τοῦτ'] τοῦδ' Ven c$^{ac}$ ἔτι] ἔπι Tricl 219 'πιχωρεῖν L$^{ac}$ A rec Σ: 'πιχειρεῖν L$^{c}$ Lb 223 ΦΥΛΑΞ] ἀγγε hic et infra L A rec: corr. Brunck σπουδῆς Arist. rhet. 3. 14. 1415$^{b}$ 20 (legisse Σ non constat): τάχους codd. 225 ἔσχον] εὗρον rec 229 μενεῖς A rec κεἰ] καὶ A Ven c

τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ βραδύς,
χοὔτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν
σοί· κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος,
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
Κρ. τί δ' ἐστὶν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;
Φυ. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ· τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ' οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν,
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
Κρ. εὖ γε στιχίζῃ κἀποφάργνυσαι κύκλῳ
τὸ πρᾶγμα. δηλοῖς δ' ὥς τι σημανῶν νέον.
Φυ. τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.
Κρ. οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;
Φυ. καὶ δὴ λέγω σοι. τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας κἀφαγιστεύσας ἃ χρή.
Κρ. τί φῄς; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
Φυ. οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
καὶ χέρσος, ἀρρὼξ οὐδ' ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ,
λεπτὴ δ' ἄγος φεύγοντος ὣς ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς οὔτε του κυνῶν

231 σχολῇ βραδύς] σχολῇ ταχύς Σ^γρ : σπουδῇ βραδύς Seyffert  234 σοί· κεἰ] κεἴ σοι Erfurdt  φράσω] φράσαι Wunder  235 δεδραγμένος A rec Σ Suid. s. v. : πεπραγμένος L rec : πεφραγμένος rec  238 πρῶτα] πάντα T  241 στιχίζῃ (στοχίζῃ Seyffert) scripsi : στοχάζῃ codd.  κἀποφράγνυσαι codd. : corr. Dindorf  242 σημανῶν rec et fort. Didymus ad Ai. 1225 : σημαίνων Πe L A rec  243 [προστε]θηκ Πe^ac  ὄχλον Πe^ac  249 του L^c A rec : τοῦ Lb : που L^ac  251 ἀρρὼξ rec : ἀρὼξ L : ἄρρωξ A

ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί,
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίγνετο
πληγὴ τελευτῶσ', οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὐξειργασμένος,
κοὐδεὶς ἐναργής, ἀλλ' ἔφευγε μὴ εἰδέναι.
ἦμεν δ' ἑτοῖμοι καὶ μύδρους αἴρειν χεροῖν,
καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν
τὸ μήτε δρᾶσαι μήτε τῳ ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι μήτ' εἰργασμένῳ.
τέλος δ' ὅτ' οὐδὲν ἦν ἐρευνῶσιν πλέον,
λέγει τις εἷς, ὃ πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προύτρεψεν· οὐ γὰρ εἴχομεν
οὔτ' ἀντιφωνεῖν οὔθ' ὅπως δρῶντες καλῶς
πράξαιμεν. ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν, οἶδ' ὅτι·
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.

Χο. ἄναξ, ἐμοί τοι μή τι καὶ θεήλατον
τοὔργον τόδ' ἡ ξύννοια βουλεύει πάλαι.

Κρ. παῦσαι, πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων,
μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτὰ δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτόν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;

263 μὴ εἰδέναι Erfurdt : τὸ μὴ εἰδέναι codd. : πᾶς τὸ μή Dindorf 264 αἴρειν A rec $\Sigma^{\gamma\rho}$ : ἔχειν L 267 μήτ'] μηδ' Blaydes 269 εἷς ὃ Nauck : εἷς ὃς codd. : ἔπος ὃ Blaydes 276 ἑκοῦσιν δ' $L^c$ 278 sq. choro tribuunt rec : custodi continuant L A rec 284 ὑπερτιμῶντες A rec : ὑπερτιμῶντας L 287 ἐκείνην E

ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοὶ
κρυφῇ, κάρα σείοντες, οὐδ᾽ ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ᾽ ἔβλαστε. τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ᾽ ἄνδρας ἐξανίστησιν δόμων·
τόδ᾽ ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ᾽ ἵστασθαι βροτῶν·
πανουργίας δ᾽ ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ᾽ ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ᾽ εἴπερ ἴσχει Ζεὺς ἔτ᾽ ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ᾽ ἐπίστασ᾽, ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ᾽ ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ᾽ ὕβριν,
ἵν᾽ εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ᾽ ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωμένους.
Φυ. εἰπεῖν τι δώσεις, ἢ στραφεὶς οὕτως ἴω;
Κρ. οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;
Φυ. ἐν τοῖσιν ὠσὶν ἢ ᾽πὶ τῇ ψυχῇ δάκνῃ;

291 *κρυφῇ*] *σιγῇ* Meineke Plutarcho (mor. 170 E) obsecutus 292 *νῶτ᾽ εὐλόφως ἔχοντες* post Eustath. 824, 32; 1313, 32; 1536, 49; 1653, 5 Hartung 299 *βροτῶν* Lˢ A rec : *βροτούς* L 311 *ἁρπάζητε* L rec Σ : *ἁρπάξητε* A rec 314 *σεσωσμένους* codd. : corr. Wecklein 315 *τι δώσεις* Lˢ A rec : *δεδώσεις* L Lb

Κρ. τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
Φυ. ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.
Κρ. οἴμ' ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.
Φυ. οὔκουν τό γ' ἔργον τοῦτο ποιήσας ποτέ.
Κρ. καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
Φυ. φεῦ·
ἦ δεινόν, ᾧ δοκῇ γε, καὶ ψευδῆ δοκεῖν.
Κρ. κόμψευέ νυν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.
Φυ. ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι
ληφθῇ τε καὶ μή, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψῃ σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

Χο. πολλὰ τὰ δεινὰ κοὐδὲν ἀν- στρ.
θρώπου δεινότερον πέλει·
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ' οἴδμασιν, θεῶν
τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν ἀποτρύεται,
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος
ἱππείῳ γένει πολεύων.

318 δὲ rec Plut. mor. 509 c: δαὶ L A rec 319 σ' om. A Ven c 320 λάλημα $L^{c}$ A rec Σ : ἀλάλημα $L^{ac}$ : ἄλημα Σ 321 τό γ' Reiske : τόδ' codd. 323 ᾧ L E $Σ^{l}$: ἣν $L^{s}$ A rec δοκῇ $L^{s}$ A rec : δοκεῖ L E $Σ^{l}$ δοκεῖν A rec Σ : δοκεῖ L : δοκῆι Lb 326 δειλὰ $Σ^{γρ}$ : δεινὰ L A rec 327 τοι $L^{s}$ A rec : σοι L 337 πτερῶν A 339 sq. ἀκαμάτων T Tricl ἀποτρύεται ἰλλομένων $Σ^{γρ}$ : ἀποτρύετ' ἀπλομένων L (ο ex ω facto) F : ἀποτρύεθ' ἁπλωμένων Ven : ἀποτρύεται παλλομένων A Ven c : ἀποτρύεται εἰλομένων rec 340 ἀρότρων] ἀρότων Semitelos ἔτος εἰς ἔτος] ἔτους εἰς ἔτος A rec : ἔτος ἐξ ἔτους quod Σ legisse putat coni. Musgrave 341 πολεύων A Ven c $Σ^{l}$ : πολεῦον L rec

κουφονόων τε φῦλον ὀρ- ἀντ.
νίθων ἀμφιβαλὼν ἀγρεῖ
καὶ θηρῶν ἀγρίων ἔθνη
πόντου τ' εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις,
περιφραδὴς ἀνήρ· κρατεῖ
δὲ μαχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'
ἵππον ὑπαξέμεν ἀμφίλοφον ζυγὸν
οὔρειόν τ' ἀκμῆτα ταῦρον.

καὶ φθέγμα καὶ ἀνεμόεν στρ.
φρόνημα καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο καὶ δυσαύλων
πάγων ὑπαίθρεια καὶ
δύσομβρα φεύγειν βέλη
παντοπόρος· ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φεῦξιν οὐκ ἐπάξεται·
νόσων δ' ἀμαχάνων φυγὰς
ξυμπέφρασται.

σοφόν τι τὸ μαχανόεν ἀντ.
τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
τοτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει,

342 *κουφονόων* Ricc a[s] : *κουφονέων* L[c] A rec : *κοῦφον ἐόν* L[ac] (ut videtur) : *κουφονέον* Ven 343 *ἀγρεῖ* Nauck : *ἄγει* L[c] A rec : *ἔχει ἄγει* L[ac] 345 *ἐναλίαν* L A rec 348 *περιφραδὴς*] *ἀριφραδὴς* Eustath. 135, 25 349 *μηχαναῖς* codd. : corr. Erfurdt 351 *ὑπαξέμεν* scripsi : *ἕξεται* L Σ : *ἄξεται* A rec Σ[s] : *ἔξεται* Vat b : *ἐξέτ'* (sic) Ven : *ἄξετ'* rec : *ὑπάξεται* Brunck : *ὀχμάζεται* G. Schoene : *ἐθίζεται* Bellermann *ἀμφὶ λόφον* praeter *ἀμφίλοφον* agnoscit Σ 352 *ἀκμῆτα* L Ricc b : *ἀδμῆτα* A rec 357 *ὑπαίθρεια* Boeckh : *αἴθρια* codd. : *ἐναίθρεια* Helmke 361 *Ἅιδι* L[s] *μόνωι* (sscr. *-ον*) L 362 *ἐπάξεται*] *ἔπραξέ πᾳ* M. Schmidt (*εὗρεν* Σ) : *πεπάσεται* Wecklein 363 *ἀμηχάνων* (*ἀμηχάνους* L[2s]) codd. : corr. Erfurdt 365 *μηχανόεν* codd. : corr. Erfurdt 366 *ἔχον* rec 367 *τοτὲ* L rec : *ποτὲ* A rec *ἕρπειν* A

νόμους περαίνων χθονὸς
θεῶν τ' ἔνορκον δίκαν·
ὑψίπολις· ἄπολις ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν.
μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον φρονῶν
ὃς τάδ' ἔρδοι.

ἐς δαιμόνιον τέρας ἀμφινοῶ,
τὸ δὲ πῶς εἰδὼς ἀντιλογήσω
μὴ οὐ τήνδ' εἶναι παῖδ' Ἀντιγόνην;
ὦ δύστηνος
καὶ δυστήνου πατρὸς Οἰδιπόδα,
τί ποτ'; οὐ δή που σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοισιν ἄγουσι νόμοις
καὶ ἐν ἀφροσύνῃ καθελόντες;

Φυ. ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη·
τήνδ' εἵλομεν θάπτουσαν. ἀλλὰ ποῦ Κρέων;
Χο. ὅδ' ἐκ δόμων ἄψορρος ἐς δέον περᾷ.
Κρ. τί δ' ἔστι; ποίᾳ ξύμμετρος προύβην τύχῃ;
Φυ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην· ἐπεὶ
σχολῇ ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγὼ
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ,
ἥκω, δι' ὅρκων καίπερ ὢν ἀπώμοτος,

368 *περαίνων* Pflugk : *παρείρων* codd. : *γεραίρων* Reiske 370 *ἄπολις δ'* rec 375 *τάδ'*] *τᾷδ'* Gleditsch *ἔρδοι* L rec : *ἔρδει* A rec 377 *τὸ δὲ* Platt : *τόδε* codd. 378 *μὴ οὐ τήνδ'* Hermann : *τήνδ' οὐκ* codd. 382 *βασιλείοισιν ἄγουσι* Turneb : *βασιλείοις ἄγουσι* L A rec : *β. ἀπάγουσι* Boeckh 384 *φύλαξ* Σmg : *αγ* L A rec *ἡ 'ξειργασμένη* Ven d : *ἐξειργασμένη* L A rec 386 *εἰς δέον* A rec : *εἰς μέσον* L Ricc b 387 *ποία* A rec *ξύμμετρος προύβην* Σ : *ξύμμετρος ἐξέβην* L : *ξύμμετρος προύβη* A rec : *ξύμμετρ' ἐξέβην* Bergk *τύχῃ*] *τύχη* A rec 392 *γὰρ ἐκτὸς*] fort. *παρεκτὸς* 394 *ὅρκου* L[s]

κόρην ἄγων τήνδ', ἣ καθηρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο,
ἀλλ' ἔστ' ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου, τόδε.
καὶ νῦν, ἄναξ, τήνδ' αὐτός, ὡς θέλεις, λαβὼν
καὶ κρῖνε κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
Κρ. ἄγεις δὲ τήνδε τῷ τρόπῳ πόθεν λαβών;
Φυ. αὕτη τὸν ἄνδρ' ἔθαπτε· πάντ' ἐπίστασαι.
Κρ. ἦ καὶ ξυνίης καὶ λέγεις ὀρθῶς ἃ φής;
Φυ. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
Κρ. καὶ πῶς ὁρᾶται κἀπίληπτος ηὑρέθη;
Φυ. τοιοῦτον ἦν τὸ πρᾶγμ'. ὅπως γὰρ ἥκομεν,
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλῃ πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀκηδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἔστ' ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος
καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτόν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος, ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ' εἴχομεν θείαν νόσον.
καὶ τοῦδ' ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,

395 *καθηρέθη* anon.: *καθευρέθη* codd. 402 *ἐπίστασο* A rec 403 *ξυνίης* rec: *ξυνίεις* L A rec 404 *ἰδὼν* Brunck: *ἴδον* L A rec: *εἶδον* rec 405 *ἆρ'* (*ως* sscr.) L 406 *κἀπίλημπτος* L *ηὑρέθη* L^s Σ: *εὑρέθη* L A rec 410 *εὖ*] *αὖ* Ven 411 *ἀπήνεμοι* Tournier 412 *βάλῃ* codd.: *βάλοι* Stephanus 413 *κινῶν* A rec: *κεῖνον* L Lb 414 *ἀκηδήσοι* Bonitz: *ἀφειδήσοι* codd. 420 *ἐν δ'* A rec: *ἔνθ'* L

ἡ παῖς ὁρᾶται κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χαὔτη, ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἠμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην,
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ' οὐδενὸς καθίστατο,
ἅμ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. ἀλλὰ τἄλλα πάνθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
Κρ. σὲ δή, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,
φής, ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;
Αν. καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
Κρ. σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον·
σὺ δ' εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα,
ᾔδησθα κηρυχθέντα μὴ πράσσειν τάδε;
Αν. ᾔδη· τί δ' οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
Κρ. καὶ δῆτ' ἐτόλμας τούσδ' ὑπερβαίνειν νόμους;
Αν. οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,

423 *πικρᾶς*] *πικρῶς* Bothe 429 *διψίαν φέρει* A rec $\Sigma^{\gamma\rho}$ : *διψὰν ἐκφέρει* L 430 *χαλκέως* A rec 436 *ἅμ'* Dindorf : *ἀλλ'* codd. 439 *πάντα ταῦθ'* (*ταῦτα πάνθ'* rec) codd. : corr. Blaydes et Housman 443 *τὸ μὴ οὐ* Hermann 444 *ᾗ*] *οἷ* Ven b 446 *σύντομα* A rec : *συντόμως* L rec : *σύντομον* rec 447 *ᾔδησθα* Cobet : *ᾔδεις τὰ* codd. 448 *ᾔδη* Brunck : *ᾔδειν* codd. *ἐμφανῆ* L[s] A rec : *ἐκφανῆ* L 450 *ὁ κηρύσσων* Clem. Alex. strom. 4, p. 585 (sed *ὁ κηρύξας* id. 5, p. 697)

οὐδ' ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη
τοιούσδ' ἐν ἀνθρώποισιν ὥρισεν νόμους,
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ' ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ', ἐν θεοῖσι τὴν δίκην
δώσειν· θανουμένη γὰρ ἐξῄδη, τί δ' οὔ;
κεἰ μὴ σὺ προυκήρυξας. εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
ζῇ, πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ' οὐδὲν ἄλγος· ἀλλ' ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ' ἄθαπτον ἠνσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖσδε δ' οὐκ ἀλγύνομαι.
σοὶ δ' εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.

Χο. δηλοῖ τὸ γοῦν λῆμ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός· εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς.

Κρ. ἀλλ' ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα
πίπτειν μάλιστα, καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.
σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους

452 *τοιούσδ' . . . ὥρισεν* Valckenaer : *οἳ τούσδ' . . . ὥρισαν* (*ἃ τούσδ* Lb) codd. : *ἣ τούσδ' . . . ὥρισεν* Wakefield : *οἳ τοὺς . . . ὥρισαν* Earl 456 *οὐ μέν τι* Plut. mor. 731 c 457 *ταῦτα*] *τοῦτο* Arist. rhet. I. 13 1373^b 13 460 *ἐξῄδειν* codd. : corr. Brunck 462 *αὖτ'* L A re 467 *ἠνσχόμην νέκυν* A Ven c (*ἠισχόμην* L Lb : *ἰσχόμην* rec : *ἐσχόμη* et *ἠσχόμην* tradit Eustath. 529, 20) : *ἤσχυναν κύνες* Semitelos 47 *τὸ γοῦν λῆμ'* Blaydes : *τὸ γέννημ'* L A^gl rec : *τὸ φώνημ'* A Ven c 474 *πίπτει* A Ven c

ἵππους καταρτυθέντας· οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ' ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ' ὑβρίζειν μὲν τότ' ἐξηπίστατο,
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν καὶ δεδρακυῖαν γελᾶν.
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνήρ, αὕτη δ' ἀνήρ,
εἰ ταῦτ' ἀνατεὶ τῇδε κείσεται κράτη.
ἀλλ' εἴτ' ἀδελφῆς εἴθ' ὁμαιμονεστέρα
τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ,
αὐτή τε χἠ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου· καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ'· ἔσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν οὐδ' ἐπήβολον φρενῶν.
φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.
μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς ἔπειτα τοῦτο καλλύνειν θέλῃ.
Αν. θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ' ἑλών;
Κρ. ἐγὼ μὲν οὐδέν· τοῦτ' ἔχων ἅπαντ' ἔχω.
Αν. τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
ἀρεστὸν οὐδέν, μηδ' ἀρεσθείη ποτέ,
οὕτω δὲ καὶ σοὶ τἄμ' ἀφανδάνοντ' ἔφυ.
καίτοι πόθεν κλέος γ' ἂν εὐκλεέστερον
κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν

482 sq. ordine inverso scripsit L sed notis appositis corr. Σ 484 νῦν] τἄρ' Elmsley 485 ἀνατεὶ A rec : ἀνατὶ L Σ[l] Lb schol. Eur. Med. 1357 κείσεται] κἀκεῖσε A : πείσεται Semitelos 486 ὁμαιμονεστέρα L[c] rec : ὁμαιμονεστέρας A rec Σ : ὁμαιμονεστέραις L[ac] 487 ἑρκείου Eustath. 1930, 30 (ἐρκείου Lb) : ἑρκίου L A rec Σ 493 κλοπαῖς rec 494 ὀρθὸν Tournier 500 ἀρέστ' εἴη Elmsley : ἀρεσθείην Hermann 504 ἁνδάνειν A Ven c : ἁνδάνει L rec



141.5

λέγοιτ' ἄν, εἰ μὴ γλῶσσαν ἐγκλῄοι φόβος.
ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ
κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται.
Κρ. σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.
Αν. ὁρῶσι χοὗτοι· σοὶ δ' ὑπίλλουσι στόμα.
Κρ. σὺ δ' οὐκ ἐπαιδῇ, τῶνδε χωρὶς εἰ φρονεῖς;
Αν. οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν
Κρ. οὔκουν ὅμαιμος χὠ καταντίον θανών;
Αν. ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.
Κρ. πῶς δῆτ' ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;
Αν. οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.
Κρ. εἴ τοί σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.
Αν. οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφὸς ὤλετο.
Κρ. πορθῶν δὲ τήνδε γῆν· ὁ δ' ἀντιστὰς ὕπερ.
Αν. ὅμως ὅ γ' Ἅιδης τοὺς νόμους ἴσους ποθεῖ.
Κρ. ἀλλ' οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσον.
Αν. τίς οἶδεν εἰ κάτωθεν εὐαγῆ τάδε;
Κρ. οὔτοι ποθ' οὑχθρός, οὐδ' ὅταν θάνῃ, φίλος.
Αν. οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.
Κρ. κάτω νυν ἐλθοῦσ', εἰ φιλητέον, φίλει
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.
Χο. καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,
φιλάδελφα κάτω δάκρυ' εἰβομένη·
νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν
ῥέθος αἰσχύνει,
τέγγουσ' εὐῶπα παρειάν.
Κρ. σὺ δ', ἣ κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη

505 ἐγκλῄοι Schaefer: ἐγκλείσοι L A rec Eustath. 1391, 64: ἐγκλήσοι Lb: ἐγκλείσαι Erfurdt 509 χοὗτοι L rec: χοἴδε A Ven c ὑπίλλουσι] ἰπίλλουσιν L Σ[l] 512 καταντίον] καταναντίον L: κατὰ χθονὸς rec 513 τε] γε Hermann 514 δυσσεβῆ rec (δυσσεβῆι L[s]): δυσσεβεῖ A rec: δυσσεβῶι L 518 δὲ L rec: γε A rec 519 ἴσους Σ[γρ]: τούτους codd. 520 ἴσον rec: ἴσος L A rec: ἴσα Bergk: ἴσους Nauck 521 κάτωθεν Σ[γρ]: κάτω 'στιν L A rec 522 οὐδ' L: οὔθ' A rec 527 δάκρυ' εἰβομένη T (δάκρυα εἰβομένη Mc): δάκρυα λειβομένα (vel -νη) L A rec 531 ὑφειμένη] ὑφημένη, quod Σ legisse videtur, Brunck

λήθουσά μ' ἐξέπινες, οὐδ' ἐμάνθανον
τρέφων δύ' ἄτα κἀπαναστάσεις θρόνων,
φέρ', εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ 'ξομῇ τὸ μὴ εἰδέναι;
Ισ. δέδρακα τοὔργον, εἴπερ ἥδ' ὁμορροθεῖ,
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
Αν. ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη σ', ἐπεὶ
οὔτ' ἠθέλησας οὔτ' ἐγὼ 'κοινωσάμην.
Ισ. ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.
Αν. ὧν τοὔργον Ἅιδης χοἰ κάτω ξυνίστορες·
λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.
Ισ. μήτοι, κασιγνήτη, μ' ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ τὸν θανόντα θ' ἁγνίσαι.
Αν. μή μοι θάνῃς σὺ κοινά, μηδ' ἃ μὴ 'θιγες
ποιοῦ σεαυτῆς. ἀρκέσω θνῄσκουσ' ἐγώ.
Ισ. καὶ τίς βίος μοι σοῦ λελειμμένῃ φίλος;
Αν. Κρέοντ' ἐρώτα· τοῦδε γὰρ σὺ κηδεμών.
Ισ. τί ταῦτ' ἀνιᾷς μ' οὐδὲν ὠφελουμένη;
Αν. ἀλγοῦσα μὲν δῆτ', εἰ γέλωτ' ἐν σοὶ γελῶ.
Ισ. τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;
Αν. σῶσον σεαυτήν. οὐ φθονῶ σ' ὑπεκφυγεῖν.
Ισ. οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
Αν. σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.
Ισ. ἀλλ' οὐκ ἐπ' ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.
Αν. καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν.
Ισ. καὶ μὴν ἴση νῷν ἐστιν ἡ 'ξαμαρτία.
Αν. θάρσει. σὺ μὲν ζῇς, ἡ δ' ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
Κρ. τὼ παῖδέ φημι τώδε τὴν μὲν ἀρτίως

533 ἄτα L rec : ἄτας A rec κἀπαναστάσει Postgate 546 μηδ' L rec : μήθ' A rec 551 μὲν δή, κεἰ Dindorf γέλωτ'] γελῶτ' L : γελῶ γ' Heath 557 μὲν τοῖς A Ven c : μέν τοι L Σ[1] : μέν σοι Σ : μὲν θοῦ rec : μὲν τ' οἴου rec

*ἄνουν πεφάνθαι, τὴν δ' ἀφ' οὗ τὰ πρῶτ' ἔφυ.*
Ισ. *οὐ γάρ ποτ', ὦναξ, οὐδ' ὃς ἂν βλάστῃ μένει*
*νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.*
Κρ. *σοὶ γοῦν, ὅθ' εἵλου σὺν κακοῖς πράσσειν κακά.*
Ισ. *τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον;*
Κρ. *ἀλλ' ἥδε μέντοι μὴ λέγ'· οὐ γὰρ ἔστ' ἔτι.*
Ισ. *ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;*
Κρ. *ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι.*
Ισ. *οὐχ ὥς γ' ἐκείνῳ τῇδέ τ' ἦν ἡρμοσμένα.*
Κρ. *κακὰς ἐγὼ γυναῖκας υἱέσι στυγῶ.*
Αν. *ὦ φίλταθ' Αἷμον, ὥς σ' ἀτιμάζει πατήρ.*
Κρ. *ἄγαν γε λυπεῖς καὶ σὺ καὶ τὸ σὸν λέχος.*
Χο. *ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;*
Κρ. *Ἅιδης ὁ παύσων τούσδε τοὺς γάμους ἔφυ.*
Χο. *δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν.*
Κρ. *καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ', ἀλλά νιν*
*κομίζετ' εἴσω, δμῶες· ἐκδέτους δὲ χρὴ*
*γυναῖκας εἶναι τάσδε μηδ' ἀνειμένας.*
*φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας*
*ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου.*

Χο. *εὐδαίμονες οἷσι κακῶν ἄγευστος αἰών.* *στρ.*
*οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος, ἄτας*
*οὐδὲν ἐλλείπει γενεᾶς ἐπὶ πλῆθος ἕρπον·*
*ὁμοῖον ὥστε πόντιον*

563 *οὐ γάρ ποτ'*] *ἀλλ' οὐ γάρ* Plut. Phoc. 1; id. mor. 460 E 564 *πράξασιν* Plut. mor. 565 *κακοῖς* L rec : *κακῷ* A : *κακῇ* Σ rec 567 *μέντοι* Brunck : *μέν σοι* L A rec : *μέντοι σοι* E 568 *νυμφεῖα* A rec : *νυμφια* L : *νυμφία* Lb 569 *ἀρώσιμοι* L Ven : *ἀρώσιμαι* A Ven c : *ἀρόσιμοι* L[s] Lb 570 *ἡρμοσμένα* L[s] A rec : *ειρμοσμένα* L 571 *υἱέσι* rec : *υἱάσι* L A rec 572 Antigonae primus tribuit Aldus, Ismenae codd. et Σ ad v. 573 *αἷμον* A rec : *αἵμων* L 574 Ismenae tribuunt codd. : corr. Boeckh 575 *ἔφυ* A rec : *ἐμοί* L F 576 Ismenae tribuunt A rec 578 *ἐκδέτους δὲ* Bruhn (*ἐκδέτας δὲ* iam Engelmann) : *ἐκ δὲ τοῦδε* L[c] A rec : *ἐκ δὲ τᾶσδε* L[ac] (ut videtur) Σ[l] 579 *τάσδε* A rec : *τᾶσδε* L 585 *γενεᾶν* Blaydes *ἕρπων* L[s] Ven 586 *πόντιον* Schneidewin : *ποντίας ἁλὸς* L[ac] A rec Σ[l] : *ποντίαις ἁλὸς* L[c] Σ : *ποντίαις* Elmsley

οἶδμα δυσπνόοις ὅταν
Θρῄσσῃσιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς,
κυλίνδει βυσσόθεν κελαινὰν
θῖνα καὶ δυσάνεμοι
στόνῳ βρέμουσιν ἀντιπλῆγες ἀκταί.

ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι ἀντ.
πήματα φθιμένων ἐπὶ πήμασι πίπτοντ',
οὐδ' ἀπαλλάσσει γενεὰν γένος, ἀλλ' ἐρείπει
θεῶν τις, οὐδ' ἔχει λύσιν.
νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας ἐτέτατο φάος ἐν Οἰδίπου δόμοις·
κατ' αὖ νιν φοινία θεῶν τῶν
νερτέρων ἀμᾷ κοπίς,
λόγου τ' ἄνοια καὶ φρενῶν Ἐρινύς.

τεάν, Ζεῦ, δύνασιν τίς ἀν- στρ.
δρῶν ὑπερβασία κατάσχοι;
τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ παντογήρως
οὔτ' ἀκάματοι θεῶν
μῆνες, ἀγήρως δὲ χρόνῳ δυνάστας
κατέχεις Ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό τ' ἔπειτα καὶ τὸ μέλλον
καὶ τὸ πρὶν ἐπαρκέσει
νόμος ὅδ'· οὐδὲν ἕρπει
θνατῶν βιότῳ πάμπολύ γ' ἐκτὸς ἄτας.

589 Θρῄσσῃσιν vel Θρήσσῃσιν codd.: Θρῄσσαισιν Ellendt 590 sq. βρέμουσιν Vat: βρέμουσι δ' δυσάνεμοι Hartung: δυσάνεμον codd. 595 φθιμένων] φθιτῶν cett. 593 οἴκων] δόμων coni. Seyffert 596 γενεὰ Bruhn ἐρίπει L E 599 ὑπὲρ (ὕπερ L Lb) L A rec: ὃ Lb^s 600 ἐτέτατο Brunck: τέτατο codd.: ὃ τέτατο Hermann φονία Hermann 601 κατ' rec: κᾶτ' L A: κᾆτ' rec coni. Σ 604 δύνασιν L^s A Ven c: A Ven c 602 κοπίς Jortin: κόνις codd. δύναμιν L rec 605 ὑπερβασίᾳ A rec 606 παντογήρως (L rec Σ) vix sanum: πανταγήρως A: παντοθήρας Bamberger: πάντ' ἀγρεύων Jebb 607 οὔτε θεῶν ἄκμητοι Hermann 608 ἀγήρως L^c rec: ἀγήρῳ (vel ἀγήρω) L^ac A Σ 613 ἕρπειν Heath 614 πάμπολύ γ' Heath: πάμπολις codd. Σ

ἁ γὰρ δὴ πολύπλαγκτος ἐλ- ἀντ.
πὶς πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·
εἰδότι δ' οὐδὲν ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσαύσῃ.
σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται.
τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν
τῷδ' ἔμμεν ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσει δ' ὀλίγιστον χρόνον ἐκτὸς ἄτας.

ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ'· ἆρ' ἀχνύμενος
τάλιδος ἥκει μόρον Ἀντιγόνης,
ἀπάτης λεχέων ὑπεραλγῶν;

Κρ. τάχ' εἰσόμεσθα μάντεων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;

ΑΙΜΩΝ
πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξιώσεται γάμος
μείζων φέρεσθαι σοῦ καλῶς ἡγουμένου.
Κρ. οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.

616 ὄνησις codd.: corr. Brunck  619 προσαύσῃ L: προψαύσῃ A (ψ in rasura): προσψαύσῃ Ven c: προσαίρει $L^s$ Σ: προσάρῃ rec: προσαίρῃ rec  621 πέφανται (ν eraso) L Lb  625 ὀλίγιστον Bergk: ὀλιγοστὸν $L^{ac}$ A rec: ὀλιγωστὸν $L^c$ F  628 verba τῆς μελλογάμου νύμφης (vel νύμφας) quae in codd. plurimis apparent om. T (νύμφης supra τάλιδος scripto): τῆς μελλογάμου om. rec  630 ἀπάτας codd.  633 λυσσαίνων] θυμαίνων $Σ^{γρ}$  635 μοι A rec: μου L rec  637 ἀξιώσεται Musgrave: ἀξίως ἔσται L A rec $Σ^1$: ἄξιος ἔσται rec  640 ὄπισθεν A rec: ὄπιθεν L $Σ^1$  ἑστάναι] ἱστάναι Musgrave

τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
ὅστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ', ὦ παῖ, τὰς φρένας γ' ὑφ' ἡδονῆς
γυναικὸς οὕνεκ' ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες
τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ' ἐφυμνείτω Δία
ξύναιμον· εἰ γὰρ δὴ τά γ' ἐγγενῆ φύσει
ἄκοσμα θρέψω, κάρτα τοὺς ἔξω γένους.
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ
χρηστός, φανεῖται κἂν πόλει δίκαιος ὤν.
καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν,
δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται,
ἢ τοὐπιτάσσειν τοῖς κρατύνουσιν νοεῖ,

643 ἀνταμύνονται L E 645 φυτεύει L A rec: προσφύει Lb: corr. Brunck 646 πόνους] πέδας Σγρ 648 μή νύν] μὴ τοίνυν A τὰς φρένας γ' rec: τὰς φρένας L A rec 654 νυμφεύσειν A rec 656 πάσας L 657 οὐκ ἀπιστήσω A 659 τά γ' Erfurdt: τά τ' L rec: τάδ' A Ven c συγγενῆ Σ (gl.) 660 τούς γ' T 663–667 post 671 traiecit Seidler 664 ἤ τοι 'πιτάσσειν Doederlein κρατύνουσιν νοεῖ Lac Ven: κρατοῦσιν ἐννοεῖ Lc A rec

οὐκ ἔστ᾽ ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
ἀλλ᾽ ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν
καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία.
ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις τ᾽ ὄλλυσιν, ἥδ᾽ ἀναστάτους
οἴκους τίθησιν· ἥδε τ᾽ ἐν μάχῃ δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ᾽ ὀρθουμένων
σῴζει τὰ πολλὰ σώμαθ᾽ ἡ πειθαρχία.
οὕτως ἀμυντέ᾽ ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.
κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν,
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ᾽ ἄν.

Χο. ἡμῖν μέν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.

Αι. πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων ὅσ᾽ ἐστὶ χρημάτων ὑπέρτατον.
ἐγὼ δ᾽ ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ᾽ ἂν δυναίμην μήτ᾽ ἐπισταίμην λέγειν·
γένοιτο μέντἂν χἀτέρως καλῶς ἔχον.
σὺ δ᾽ οὐ πέφυκας πάντα προσκοπεῖν ὅσα
λέγει τις ἢ πράσσει τις ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ

. . . . . . .

λόγοις τοιούτοις οἷς σὺ μὴ τέρψῃ κλύων·

672 δὲ L F Stob. fl. 43. 26 : γὰρ A rec Σ (gl.) 673 πόλεις τ᾽ A rec : πόλις θ᾽ L : πόλις τ᾽ L^s : πόλεις δ᾽ Lb : πόλεις rec ἥδ᾽] ἧδ᾽ Ven : ἠδ᾽ Liv p 674 τ᾽ ἐν μάχῃ scripsi : σὺν μάχῃ (συμμάχηι L Lb) codd. : συμμάχου Reiske : κἂν μάχῃ Held 676 πιθαρχία L rec 678 γυναικῶν Lb Eustath. 759, 39 679 sq. damnavit Heimreich 681 κεκλέμμεθα A Ven c Σ : κεκλήμεθα L rec : κεκλίμεθα rec 684 ὅσσ᾽ L χρημάτων L A rec : κτημάτων L^s rec ὑπέρτερον rec 685 λέγεις A rec : λέγηις L : λέγῃς Ven 687 χἀτέρως Σ (ut videtur : coniecerat Erfurdt) : χἀτέρῳ L A rec : χἀτέρᾳ Musgrave 688 σὺ δ᾽ οὐ πέφυκας Σ^γρ : σοῦ δ᾽ οὖν πέφυκα L rec : σοὶ δ᾽ οὖν πέφυκα L^s A rec 690 post hunc v. lacunam unius versus indicavit Dindorf quem huius similem fuisse crediderim : βλέπειν ἐναντί᾽ οὐδὲ χρήσεται παρών. tum in utraque oratione par fit numerus versuum

ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἶ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μήθ' ὑπ' οἰωνῶν τινός·
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ὑπέρχεται φάτις.
ἐμοὶ δὲ σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μή νυν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς σύ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί.
    ἀλλ' ἄνδρα, κεἴ τις ᾖ σοφός, τὸ μανθάνειν
πόλλ' αἰσχρὸν οὐδὲν καὶ τὸ μὴ τείνειν ἄγαν.
ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσῴζεται,
τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται.
αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα
τείνας ὑπείκει μηδέν, ὑπτίοις κάτω
στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
ἀλλ' εἶκε θυμοῦ καὶ μετάστασιν δίδου.

695 ἀπ'] ἐπ' A Ricc a    696 ἥτις] εἴ τις L^s    697 ὠμιστῶν L    κυνῶν] λύκων Σ^γρ    698 μήθ' A rec : μηδ' L rec    699 τιμῆς A rec : τιμαῖς L F : στήλης Σ^γρ Lb^γρ    700 ὑπέρχεται Herwerden : ἐπέρχεται codd.    701 ἐμοῦ L^ac A^ac    703 εὐκλείᾳ Johnson    706 ἔχειν A rec : ἔχει L rec    707 αὐτὸς ἢ] αὐτῶν εὖ Priscian 17. 157    710 κεἴ τις ᾖ rec : κεἴ τις εἶ L rec : κἤν τις ᾖ A Ven c    715 αὔτως] αὕτως L^ac A rec : οὕτως L^c Lb    ὅστις L^s A rec : εἴ τις L    ἐγκρατῆ L^s rec : ἐγκρατὴς A rec : ἐγκρατεῖ L    717 λοιπὸν] πλοῖον Hermann    718 θυμοῦ rec : θυμῷ L A

γνώμη γὰρ εἴ τις κἀπ᾽ ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ᾽ ἔγωγε πρεσβεύειν πολὺ
φῦναί τιν᾽ ἄνδρα πάντ᾽ ἐπιστήμης πλέων·
εἰ δ᾽ οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.
Χο. ἄναξ, σέ τ᾽ εἰκός, εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ᾽ αὖ τοῦδ᾽· εὖ γὰρ εἴρηται διπλῇ.
Κρ. οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;
Αι. μηδὲν τὸ μὴ δίκαιον· εἰ δ᾽ ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.
Κρ. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;
Αι. οὐδ᾽ ἂν κελεύσαιμ᾽ εὐσεβεῖν ἐς τοὺς κακούς.
Κρ. οὐχ ἥδε γὰρ τοιᾷδ᾽ ἐπείληπται νόσῳ;
Αι. οὔ φησι Θήβης τῆσδ᾽ ὁμόπτολις λεώς.
Κρ. πόλις γὰρ ἡμῖν ἁμὲ χρὴ τάσσειν ἐρεῖ;
Αι. ὁρᾷς τόδ᾽ ὡς εἴρηκας ὡς ἄγαν νέος;
Κρ. ἄλλῳ γὰρ ἢ ᾽μοὶ χρή με τῆσδ᾽ ἄρχειν χθονός;
Αι. πόλις γὰρ οὐκ ἔσθ᾽ ἥτις ἀνδρός ἐσθ᾽ ἑνός.
Κρ. οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;
Αι. καλῶς ἐρήμης γ᾽ ἂν σὺ γῆς ἄρχοις μόνος.
Κρ. ὅδ᾽, ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ.
Αι. εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.
Κρ. ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.
Αι. οὐ γὰρ δίκαιά σ᾽ ἐξαμαρτάνονθ᾽ ὁρῶ.
Κρ. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;
Αι. οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
Κρ. ὦ μιαρὸν ἦθος καὶ γυναικὸς ὕστερον.
Αι. οὔ τἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.

721 τιν᾽ Blaydes: τὸν codd. πλέων rec: πλέω L A rec: πλέον Lb[ac] 725 διπλῇ Hermann: διπλᾶ (διπλᾶι L, διπλᾷ Lb) codd. 726 οἱ] ἧι L[s]: ἣ F 727 πρὸς A rec: ὑπ᾽ L: παρ᾽ Ven 734 ἃ ᾽ν Ls: ἣ F 735 τάδ᾽ L[c] F 736 χρή με Dobree: χρὴ Lb: χρή γε με (sic) A 739 ἐρήμου A 742 ὦ παῖ κάκιστε Plut. mor. 483 c 746 μῶρον Palmer: μάργον Housman 747 οὔ τἂν Elmsley: οὐ κἂν L rec: οὐκ ἄν γ᾽ A rec

Κρ. ὁ γοῦν λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε.
Αι. καὶ σοῦ γε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.
Κρ. ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.
Αι. ἡ δ' οὖν θανεῖται καὶ θανοῦσ' ὀλεῖ τινά.
Κρ. ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχῃ θρασύς;
Αι. τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;
Κρ. κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.
Αι. εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
Κρ. γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.
Αι. βούλῃ λέγειν τι καὶ λέγων μηδὲν κλύειν;
Κρ. ἄληθες; ἀλλ' οὐ, τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι,
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα
παρόντι θνῄσκῃ πλησία τῷ νυμφίῳ.
Αι. οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτέ,
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ
τοὐμὸν προσόψῃ κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν,
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ συνών.
Χο. ἀνήρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.
Κρ. δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών·
τὼ δ' οὖν κόρα τώδ' οὐκ ἀπαλλάξει μόρου.
Χο. ἄμφω γὰρ αὐτὼ καὶ κατακτεῖναι νοεῖς;
Κρ. οὐ τήν γε μὴ θιγοῦσαν· εὖ γὰρ οὖν λέγεις.
Χο. μόρῳ δὲ ποίῳ καί σφε βουλεύῃ κτανεῖν;
Κρ. ἄγων ἐρῆμος ἔνθ' ἂν ᾖ βροτῶν στίβος
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,

749 γε L rec : τε A rec 750 ὡς] ὡς γ' A 751 ἡ δ' οὖν Hartung : ἥδ' οὖν codd. Σ[l] 757 κλύειν A rec : λέγειν L Lb 759 ἐπὶ] ἔτι Dobree 760 ἄγετε A rec : ἄγαγε L F 761 θνῄσκῃ] θνῄσκει L Lb 763 οὐδαμὰ rec : οὐδαμᾶι L Lb : οὐδαμᾶ A rec : οὐδαμοῦ rec 765 μαίνῃ L[c] rec Σ[γρ] : μένεις L[s] A rec : μαίνῃς L[ac] : μένῃς rec Σ[l] 769 τὼ . . . τώδ' Dindorf : τὰ . . . τάδ' codd. 770 αὐτὼ Dindorf : αὐτὰ codd. κατακτανῆναι L 771 τήν γε L[s] A rec : τήνδε L 774 πετρώδει L[s] A rec : πετρώδῃ L Vat

φορβῆς τοσοῦτον ὡς ἄγος μόνον προθείς,
ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τὰν Ἅιδου σέβειν.

στρ.

Χο. Ἔρως ἀνίκατε μάχαν,
Ἔρως, ὃς ἐν κτήνεσι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις,
φοιτᾷς δ' ὑπερπόντιος ἔν τ'
ἀγρονόμοις αὐλαῖς·
καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς
οὔθ' ἁμερίων σέ γ' ἀνθρώ-
πων, ὁ δ' ἔχων μέμηνεν.

ἀντ.

σὺ καὶ δικαίων ἀδίκους
φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·
νικᾷ δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς
θεσμῶν· ἄμαχος γὰρ ἐμπαί-
ζει θεὸς Ἀφροδίτα.

νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν δ'
οὐκέτι πηγὰς δύναμαι δακρύων,

775 ὡς ἄγος μόνον] ὅσον ἄγος φεύγειν (φεύγειν iam Hartung) Blaydes 776 ὑπεκφύγῃ L rec : ὑπεκφύγοι A rec 782 ὃς A rec : ὅστ' L rec κτήνεσι coni. Brunck : κτήμασι codd. 783 μαλακαῖς L rec : μαλακαῖσι A rec 789 σέ γ' Blaydes et Nauck : ἐπ' (ἀπ' Vat) codd. 799 πάρεδρος $L^{c}$ A rec Σ : πάρεργος $L^{ac}$ : παρέδρος Dorice quosdam legisse testatur Σ 800 ἐμπαίζει] ἐμπαίει coni. Livineius

τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.

Αν. ὁρᾶτ' ἔμ', ὦ γᾶς πατρίας πολῖται, στρ.
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγ-
γος λεύσσουσαν ἀελίου,
κοὔποτ' αὖθις· ἀλλά μ' ὁ παγ-
κοίτας Ἅιδας ζῶσαν ἄγει
τὰν Ἀχέροντος
ἀκτάν, οὔθ' ὑμεναίων
ἔγκληρον, οὔτ' ἐπὶ νυμ-
φείοις πώ μέ τις ὕμνος ὕ-
μνησεν, ἀλλ' Ἀχέροντι νυμφεύσω.

Χο. οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ'
ἐς τόδ' ἀπέρχῃ κεῦθος νεκύων,
οὔτε φθινάσιν πληγεῖσα νόσοις
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ',
ἀλλ' αὐτόνομος ζῶσα μόνη δὴ
θνατῶν Ἀΐδαν καταβήσῃ.

Αν. ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι ἀντ.
τὰν Φρυγίαν ξέναν
Ταντάλου Σιπύλῳ πρὸς ἄ-
κρῳ, τὰν κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν,
καί νιν ὄμβροι τακομέναν,
ὡς φάτις ἀνδρῶν,
χιών τ' οὐδαμὰ λείπει,

804 *παγκοίτην* Wolff 810 sq. *παγκοίτας*] *πάγκοινος* Blaydes 814 *ἐπὶ νυμφείοις* Bergk (*λείπει θύραις ἢ κοίταις Σ*): *ἐπινυμφίδιος* codd.: *ἐπινύμφειος* Dindorf 822 *θνητῶν Ἀΐδην* Dindorf 828 *ὄμβρῳ* codd.: corr. Musgrave 830 *οὐδαμὰ*] *οὐδαμᾶι* L: *οὐδαμᾶ* A rec

τέγγει δ' ὑπ' ὀφρύσι παγ-
κλαύτοις δειράδας· ᾇ με δαί-
μων ὁμοιοτάταν κατευνάζει.

Χο. ἀλλὰ θεός τοι καὶ θεογεννής,
ἡμεῖς δὲ βροτοὶ καὶ θνατογενεῖς.
καίτοι φθιμένᾳ μέγα κἀκοῦσαι
τοῖς ἰσοθέοις σύγκληρα λαχεῖν
ζῶσαν καὶ ἔπειτα θανοῦσαν.

Αν. οἴμοι γελῶμαι. τί με, πρὸς στρ.
θεῶν πατρῴων,
οὐκ οἰχομέναν ὑβρίζεις,
ἀλλ' ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρή-
ναι Θήβας τ' εὐαρμάτου ἄλ-
σος, ἔμπας ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,
οἵα φίλων ἄκλαυτος, οἵοις νόμοις
πρὸς ἕργμα τυμβόχωστον ἔρ-
χομαι τάφου ποταινίου·
ἰὼ δύστανος, βροτοῖς
οὔτε ⟨νεκρὸς⟩ νεκροῖσιν
μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσιν.

Χο. προβᾶσ' ἐπ' ἔσχατον θράσους

831 *τέγγει* A Ven c : *τάκει* L rec : *τέγκει* Lb[c] *δ'* rec : *θ'* L A *πανκλαύτοις* Lb : *παγκλαύτους* L : *παγκλαύστοις* A rec 834 *θεο-γενής* Lb : *θειογενής* Wieseler 835 *θνητογενεῖς* (*θνητογεννεῖς* L) codd. 836 *φθιμένᾳ* (-*α*) L A rec Σ : *φθιμέναν* rec : *φθιμένην* rec : *φθιμένῳ* L[s] rec Σ *μέγα κἀκοῦσαι* Seyffert : *μέγ' ἀκοῦσαι* codd. : *μέγα τἀκοῦσαι* Wecklein 837 *τοῖσι θεοῖσιν* Nauck *σύγκληρα* Schaefer : *ἔγκληρα* codd. 838 om. A rec 840 *οἰχομέναν* Martin : *ὀλομέναν* L A rec : *ὀλλυμέναν* rec : *οὐλομέναν* Jacobs 844 *Διρκαῖαι καὶ κρῆναι* L 846 *ἐπιβοῶμαι* Σ[γρ] 847 *οἵοις* rec : *οἵοισι(ν)* L A rec 848 *ἕργμα* Lb : *ἔργμα* L A rec : *ἕρμα* Σ[l] Vat b 849 *ποταινείου* L[ac] 850 verba spuria ad lacunam explendam inferta esse censuit Dindorf *βροτοῖς* Boeckh : *οὔτ' ἐν βροτοῖσιν* L A rec : *οὔτ' ἐν βροτοῖς* T Tricl *οὔτε* rec : *οὔτ' ἐν* L A rec *νεκρὸς* add. Gleditsch

ὑψηλὸν ἐς Δίκας βάθρον
πολὺ προσέπαισας, ὦ τέκνον.
πατρῷον δ' ἐκτίνεις τιν' ἆθλον.

Αν. ἔψαυσας ἀλγεινοτάτας — ἀντ.
ἐμοὶ μερίμνας,—
πατρὸς τριπόλιστον οἶτον
τοῦ τε πρόπαντος
ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέ-
κτρων ἆται κοιμήματά τ' αὐ-
τογέννητ' ἐμῷ πατρὶ δυσμόρου ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν·
πρὸς οὓς ἀραῖος ἄγαμος ἅδ'
ἐγὼ μέτοικος ἔρχομαι.
ἰὼ δυσπότμων κασί-
γνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.

Χο. σέβειν μὲν εὐσέβειά τις,
κράτος δ', ὅτῳ κράτος μέλει,
παραβατὸν οὐδαμᾷ πέλει,
σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.

Αν. ἄκλαυτος, ἄφιλος, ἀνυμέναι- — ἐπ.
ος ταλαίφρων ἄγομαι

855 πολὺ a fine versus huc traieci προσέπαισας rec: προσέπεσες L A rec πολύ A rec: πολύν L rec: ποδοῖν Schneidewin: πάλιν Dindorf: post τέκνον distinxit πολύν cum sequentibus iuncto Musgrave 856 ἐκτείνεις L rec 857 ἔψαυσας] ἔμνασας Blaydes paragrapho post μερίμνας distinxi quo οἶτον ad chori verba proxima referri indicarem ceteris quasi obiter adhibitis 858 τριπόλητον Dindorf οἶτον rec: οἶκτον L A rec: οἶκον Σ 861 κλεινοῖσι A 863 ματρῷαι A rec: πατρῷαι L F 864 κοιμήματά τ' Vat: κοιμήματ' L A rec αὐτογέννητ' T: αὐτογένητ' L A rec Σ[1] 865 ἐμῷ] ἀμῷ T δυσμόρου A rec Σ: δυσμόρῳ L F 869 ἰὼ T: ἰὼ ἰὼ L A rec 873 κράτους μέλει Ven 874 οὐδαμᾷ L: οὐδαμῆ (-ῇ) A rec: οὐδαμᾶ F

τὰν ἑτοίμαν ὁδόν.
οὐκέτι μοι τόδε λαμπάδος ἱερὸν
ὄμμα θέμις ὁρᾶν ταλαίνᾳ·
τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον
οὐδεὶς φίλων στενάζει.

Κρ. ἆρ' ἴστ' ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν
ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη, λέγων;
οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,
ἄφετε μόνην ἐρῆμον, εἴτε χρῇ θανεῖν
εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύειν στέγῃ·
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.
Αν. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις αἰείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Φερσέφασσ' ὀλωλότων·
ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι κάρτ' ἐν ἐλπίσιν τρέφω
φίλη μὲν ἥξειν πατρί, προσφιλὴς δὲ σοί,
μῆτερ, φίλη δὲ σοί, κασίγνητον κάρα.
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα κἀκόσμησα κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.

878 τάνδε πυμάταν ὁδὸν Reiske (τάνδ' T) 884 χρείη Lb : χρεῖ' (vel χρεί') ἦ (ᾖ) codd. Σ λέγων Vauvilliers : λέγειν codd. 885 ἄξεσθ' L 887 ἄφετε μόνην Vat : ἀφεῖτε μ. L rec : ἀφῆτε μ. rec : ἄπιτε μ. Aγρ : μόνην ἀφῆτ' A Ven c χρῇ Dindorf (noverat Σ, ut videtur) : χρὴ codd. 888 ζῶσα τυμβεύειν L : ζῶσα τυμβεύει A rec : ζῶσαν τυμβεύειν rec : ζῶσα τυμβεύσει T Tricl : ζῶσα νυμφεύειν Morstadt 894 Φερσέφασσ' L rec : Περσέφασσ' A rec 900–928 secl. Dindorf, intra quos fines alii alios versus damnaverunt, velut 904–920 Lehrs, 905–913 A. Jacob, qui primus locum in suspicionem vocavit

καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν
ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ' ὧδ' ἐρῆμος πρὸς φίλων ἡ δύσμορος
ζῶσ' ἐς θανόντων ἔρχομαι κατασκαφάς·
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.

Χο. ἔτι τῶν αὐτῶν ἀνέμων αὑταὶ
ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν.

904 σ' ἐγὼ] σέ γ' εὖ Arndt 907 ἂν ᾐρόμην rec : ἀνηρόμην L Lb : ἀνῃρόμην A Ven c 911 κεκευθότοιν] βεβηκότων Arist. rhet. 3. 16. 1417ᵃ 32 : τετευχότων Clem. Alex. strom. 6, p. 747, 30 912 βλάστοι Arist. : βλαστοῖ L A rec 918 παιδίου L rec 920 θανόντων . . . κατασκαφάς A rec : θανάτων . . . κατασφαγάς L F 921 παρεξελθοῦσαν A 927 πλείω] μείω Vauvilliers 928 ἐκδίκως Lˢ A rec : ἐνδίκως L Ven c$^{ac}$ 929 sq. αὑταὶ ψυχῆς om. Dindorf

Κρ. τοιγὰρ τούτων τοῖσιν ἄγουσιν
κλαύμαθ᾽ ὑπάρξει βραδυτῆτος ὕπερ.
Χο. οἴμοι, θανάτου τοῦτ᾽ ἐγγυτάτω
τοὔπος ἀφῖκται.
Κρ. θαρσεῖν οὐδὲν παραμυθοῦμαι
μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
Αν. ὦ γῆς Θήβης ἄστυ πατρῷον
καὶ θεοὶ προγενεῖς,
ἄγομαι δὴ κοὐκέτι μέλλω.
λεύσσετε, Θήβης οἱ κοιρανίδαι,
τὴν βασιλειδᾶν μούνην λοιπήν,
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,
τὴν εὐσεβίαν σεβίσασα.

Χο. ἔτλα καὶ Δανάας οὐράνιον φῶς στρ.
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις
αὐλαῖς· κρυπτομένα δ᾽ ἐν
τυμβήρει θαλάμῳ κατεζεύχθη·
καίτοι ⟨καὶ⟩ γενεᾷ τί-
μιος, ὦ παῖ παῖ,
καὶ Ζηνὸς ταμιεύε-
σκε γονὰς χρυσορύτους.
ἀλλ᾽ ἁ μοιριδία τις
δύνασις δεινά·
οὔτ᾽ ἄν νιν ὄλβος οὔτ᾽ Ἄρης,
οὐ πύργος, οὐχ ἁλίκτυποι
κελαιναὶ νᾶες ἐκφύγοιεν.

931 *τοιγὰρ τούτων* T: *τοιγάρτοι τούτων* L A rec: *τοιγάρτοι* E: *τοιγάρτοι καὶ* Dindorf *τοῖσιν* A rec: *τοῖς* L rec 933 sq. Antigonae tribuunt codd. Σ: corr. Lehrs 935 sq. Creonti tribuunt codd.: choro dari voluit Boeckh quod Σ quoque fieri posse dixit 939 *δὴ* A Ven c: *δὴ 'γω* L rec: *δὴ κἀγὼ* Lb 941 *βασιλειδᾶν* Winckelmann: *βασιλίδαν* Ven^c: *βασιλίδα* L A rec: *βασίλειαν* T 943 *εὐσεβίαν* T Tricl: *εὐσέβειαν* L A rec 948 *καὶ* add. Hermann, *γ᾽ ἦν* Wieseler *γενεὰ* Dresd a 950 *χρυσορύτους* T Dresd a: *χρυσορρύτους* cett. 951 *ἀλλ᾽ ἁ* A rec: *ἀλλὰ* L rec 952 *ὄλβος* Erfurdt: *ὄμβρος* codd. Σ

ζεύχθη δ' ὀξύχολος παῖς ὁ Δρύαντος, ἀντ.
Ἠδωνῶν βασιλεύς, κερτομίοις
    ὀργαῖς ἐκ Διονύσου
πετρώδει κατάφαρκτος ἐν δεσμῷ.
    οὕτω τᾶς μανίας δει-
    νὸν ἀποστάζει
    ἀνθηρόν τε μένος. κεῖ-
    νος ἐπέγνω μανίαις
    ψαύων τὸν θεὸν ἐν κερ-
    τομίοις γλώσσαις.
  παύεσκε μὲν γὰρ ἐνθέους
  γυναῖκας εὔιόν τε πῦρ,
φιλαύλους τ' ἠρέθιζε Μούσας.

παρὰ δὲ κυανέαιν σπιλάδοιν διδύμας ἁλὸς στρ.
ἀκταὶ Βοσπόριαι ἰδ' ὁ Θρῃκῶν ⟨ἠιὼν⟩
Σαλμυδησσός, ἵν' ἀγχίπολις Ἄρης
    δισσοῖσι Φινεΐδαις
    εἶδεν ἀρατὸν ἕλκος
τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις
ἀραχθέντων ὑφ' αἱματηραῖς
χείρεσσι καὶ κερκίδων ἀκμαῖσιν.

κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν ἀντ.
κλαῖον, ματρὸς ἔχοντες ἀνύμφευτον γονάν·
ἁ δὲ σπέρμα μὲν ἀρχαιογόνων
    ἄντασ' Ἐρεχθεϊδᾶν,

955 *ὀξύχολος* Ven c : *ὀξυχόλως* L (ex *-λόχως* factum) A rec 958 *κατάφαρκτος* L : *κατάφρακτος* A rec 962 *κερτομίαις* A T 965 *τ'* A rec : om. L : *δ'* Seyffert 966 *κυανέαιν σπιλάδοιν* post Blaydesium scripsi (*σπιλάδων* iam Wieseler) : *κυανέων πελαγέων* (*πελάγεων* L : om. *πελαγ.* T) *πετρῶν* L A rec : *κυανέοις πελάγεσι πέτραις* Lb[s] 968 *ἰδ'* T Dresd a : *ἠδ'* (*ἦδ'* L) cett. *ἠιὼν* supplevit Meineke, *ἄξενος* Boeckh 970 *Σαλμυδησσός* A rec Σ : *Σαλμυδισσός* L rec Σ[l] *ἵν'*] *ὃν* L[s] Σ *ἀγχίπολις* L A rec : *ἀγχίπτολις* rec 975 *ἀραχθέντων* Seidler : *ἀραχθὲν ἐγχέων* L A rec : *ἀραχθὲν ἀχέων* rec 980 *ματρὸς* A rec Σ : *πατρὸς* L 981 sq. *ἀρχαιογόνων* ⟨*ἦν*⟩ *ἄνασσ'* Wilamowitz

τηλεπόροις δ' ἐν ἄντροις
τράφη θυέλλῃσιν ἐν πατρῴαις
Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου
θεῶν παῖς· ἀλλὰ κἀπ' ἐκείνᾳ
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

ΤΕΙΡΕΣΙΑΣ

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν
δύ' ἐξ ἑνὸς βλέποντε· τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.
Κρ. τί δ' ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;
Τε. ἐγὼ διδάξω, καὶ σὺ τῷ μάντει πιθοῦ.
Κρ. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
Τε. τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν.
Κρ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
Τε. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
Κρ. τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
Τε. γνώσῃ, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
ἐς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμήν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ
κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ·
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο
κἄτυφε κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.

984 θυέλλησιν (vel -ῃσιν) codd.: θυέλλαισιν Dindorf  994 τήνδε ναυκληρεῖς L rec : τήνδε ναυκληροῖς A : τήνδ' ἐναυκλήρεις Valckenaer  998 σημεῖα τῆς ἐμῆς A rec : τῆς ἐμῆς σημεῖα L rec  999 θᾶκον L rec : θῶκον A rec

τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμών, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν οὐδὲ μηρίων φλόγα,
οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοάς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ' οὖν, τέκνον, φρόνησον. ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκέτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται μηδ' ἀκίνητος πέλει.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε τῷ θανόντι, μηδ' ὀλωλότα
κέντει. τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν δ'
ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέρει.

Κρ. ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι· τῶν δ' ὕπαὶ γένους
ἐξημπόλημαι κἀκπεφόρτισμαι πάλαι.
κερδαίνετ', ἐμπολᾶτε τἀπὸ Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν

1013 *φθίνοντα σεμνῶν* Nauck 1021 *εὐσήμους* L (cum rasura post *εὐ*): *ἐπισήμους* Lb 1022 *βεβρῶτος* L$^{s}$ Vat 1025 *ἁμάρτοι* Vat *οὐκέτ' ἔστ'* A rec: *οὐκ ἔστ'* L Ven 1027 *ἀκῆται* Wunder *ἀκίνητος*] *ἀίνητος* L Lb$^{ac}$: *ἀνίητος* Ven *πέλει* L rec: *πέλῃ* L$^{s}$ A 1032 *φέρει* rec: *φέροι* rec: *λέγοι* L rec: *λέγει* A rec 1033 *τοξότου* A 1035 *ἄπρατος* Stephanus *τῶν δ'*] *τῶν* Brunck 1036 *κἀκπεφόρτισμαι* L$^{s}$ A rec: *καμπεφόρτισμαι* L rec Σ 1037 *τἀπὸ* Blaydes: *τα προ* L: *τὸν πρὸς* A rec Eustath. 368, 30; 1483, 27: *τὸν πρὸ* L$^{s}$ rec Σ$^{1}$

χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' ἢν θέλωσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους·
οὐδ' ὧς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ
θάπτειν παρήσω κεῖνον· εὖ γὰρ οἶδ' ὅτι
θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ', ὦ γεραιὲ Τειρεσία, βροτῶν
χοἰ πολλὰ δεινοὶ πτώματ' αἴσχρ', ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.

Τε. φεῦ·
ἆρ' οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται,
Κρ. τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
Τε. ὅσῳ κράτιστον κτημάτων εὐβουλία;
Κρ. ὅσῳπερ, οἶμαι, μὴ φρονεῖν πλείστη βλάβη.
Τε. ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.
Κρ. οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.
Τε. καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.
Κρ. τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
Τε. τὸ δέ γε τυράννων αἰσχροκέρδειαν φιλεῖ.
Κρ. ἆρ' οἶσθα ταγοὺς ὄντας ἂν λέγῃς λέγων;
Τε. οἶδ'· ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.
Κρ. σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.
Τε. ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι.
Κρ. κίνει, μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.
Τε. οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος;
Κρ. ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.
Τε. ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τρόχους ἁμιλλητῆρας ἡλίου τελῶν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα

1040 οὐδ' ἢν Blaydes : οὐδ' εἰ A rec : οὐ δὴ L θέλωσ' Bergk : θέλουσ' codd. 1042 ὧς A rec : ὡς L 1054 λέγων L[s] A rec : λέγειν L 1056 τὸ δέ γε Bischopp : τὸ δ' ἐκ codd. : τὸ δ' αὖ Hartung 1062 per interrogationem haec dici intellegit Σ 1064 πολλὰς (ου sscr.) L 1065 τροχοὺς codd. : corr. Erfurdt ἥλιον τελεῖν coni. Winckelmann

*νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσῃ,*
*ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,*
*ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας,*
*ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν*
*ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν.*
*ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω*
*θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.*
*τούτων σε λωβητῆρες ὑστεροφθόροι*
*λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,*
*ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.*
*καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος*
*λέγω· φανεῖ γάρ, οὐ μακροῦ χρόνου τριβή,*
*ἀνδρῶν γυναικῶν σοῖς δόμοις κωκύματα.*
*ἔχθρᾳ δὲ πᾶσαι συνταράσσονται πόλεις*
*ὅσων σπαράγματ' ἢ κύνες καθήγνισαν*
*ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνός, φέρων*
*ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.*
*τοιαῦτά σου, λυπεῖς γάρ, ὥστε τοξότης*
*ἀφῆκα θυμῷ καρδίας τοξεύματα*
*βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμῇ.*
*ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα*
*τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,*
*καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχαιτέραν*
*τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν ὧν νῦν φέρει.*
Χο. *ἀνήρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας.*
*ἐπιστάμεσθα δ', ἐξ ὅτου λευκὴν ἐγὼ*
*τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,*
*μή πώ ποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.*

1068 *βαλὼν* A rec : *βάλλειν* L : *βάλλων* L[s] Lb  1069 *τ'* om. Bothe, post *ἀτίμως* traiecit Bergk  *κατοικίσας* uterque et rec  1080–1083 del. Wunder  1080 *ἔχθρᾳ* Reiske : *ἐχθραὶ* codd. *συνταράξονται* Bergk  1081 *καθήγνισαν* L A rec : *καθήγισαν* Ven[ac] Hesych. ii. 384 et fort. Σ  1086 *ὑπεκδραμεῖν* A  1089 *ἡσυχωτέραν* codd. : corr. Schaefer  1090 *ὧν* Brunck : *ἢ* codd.  *τῶν τὰ νῦν φέρει φρενῶν* Bruhn : *τῶν γε νῦν φέρειν φρενῶν* F. W. Schmidt : fort. *τῷ φρονεῖν ἢ κτλ.*  1092 *ἐπιστάμεθα* L  1094 *λαβεῖν* L[ac] A Ven c

Κρ. ἔγνωκα καὐτὸς καὶ ταράσσομαι φρένας·
τό τ' εἰκαθεῖν γὰρ δεινόν, ἀντιστάντα δὲ
ἄτῃ πατάξαι θυμὸν ἐν δεινῷ πάρα.
Χο. εὐβουλίας δεῖ, παῖ Μενοικέως, λαβεῖν.
Κρ. τί δῆτα χρὴ δρᾶν; φράζε· πείσομαι δ' ἐγώ.
Χο. ἐλθὼν κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες, κτίσον δὲ τῷ προκειμένῳ τάφον.
Κρ. καὶ ταῦτ' ἐπαινεῖς καὶ δοκεῖς παρεικαθεῖν;
Χο. ὅσον γ', ἄναξ, τάχιστα· συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας Βλάβαι.
Κρ. οἴμοι· μόλις μέν, καρδίας δ' ἐξίσταμαι
τὸ δρᾶν· ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.
Χο. δρᾶ νυν τάδ' ἐλθὼν μηδ' ἐπ' ἄλλοισιν τρέπε.
Κρ. ὧδ' ὡς ἔχω στείχοιμ' ἄν· ἴτ' ἴτ' ὀπάονες,
οἵ τ' ὄντες οἵ τ' ἀπόντες, ἀξίνας χεροῖν
ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον.
ἐγὼ δ', ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σῴζοντα τὸν βίον τελεῖν.

Χο. πολυώνυμε, Καδμείας ἄγαλμα νύμφας στρ.
καὶ Διὸς βαρυβρεμέτα
γένος, κλυτὰν ὃς ἀμφέπεις
Ἰταλίαν, μέδεις δὲ
παγκοίνοις Ἐλευσινίας
Δηοῦς ἐν κόλποις, ὦ Βακχεῦ,

1096 εἰκάθειν codd.: corr. Elmsley δὲ] τε L[s] 1097 ἐν δεινῷ πάρα] ἓν δεινοῦ πέρα Seyffert (πέρα iam Musgrave, δεινοῦ Martin) 1098 λαβεῖν L rec : λαχεῖν E : παῖ λαβεῖν Ven : Κρέων Lb[γρ] : Κρέον A rec 1101 τάφῳ A 1102 δοκεῖ Rauchenstein παρεικάθειν codd.: cf. 1096 1105 καρδίας rec et legisse videtur Σ: καρδίᾳ L A rec 1108 ἴτ' ἴτ' Dresd a (Tricl) : ἴτ' rec : ἴτ' L : οἵ τ' A Ven c 1111 δόξαι τῇδ' L Σ Lb ἐπεστράφη A rec : ἐπεστράφην L rec 1114 ᾗ τὸν βίον σῴζοντα L rec 1115 Καδμεΐας Dindorf νύμφας ἄγαλμα codd.: corr. Nauck 1119 Ἰταλείαν L : Ἰκαρίαν Unger 1120 παγκοίνοις rec Σ: παγκοίνους L rec : παγκοίνου A rec 1121 ὦ om. T

Βακχᾶν ματρόπολιν Θήβαν
ναιετῶν παρ' ὑγροῖς Ἰ-
σμηνοῦ ῥείθροις, ἀγρίου τ'
ἐπὶ σπορᾷ δράκοντος·

σὲ δ' ὑπὲρ διλόφου πέτρας στέροψ ὄπωπε — ἀντ.
λιγνύς, ἔνθα Κωρύκιαι
στείχουσι Νύμφαι Βακχίδες
Κασταλίας τε νᾶμα.
καί σε Νυσαίων ὀρέων
κισσήρεις ὄχθαι χλωρά τ' ἀ-
κτὰ πολυστάφυλος πέμπει
ἀβρότων ἐπεтᾶν εὐ-
αζόντων Θηβαΐας
ἐπισκοποῦντ' ἀγυιάς·

τὰν ἐκ πασᾶν τιμᾷς — στρ.
ὑπερτάταν πόλεων
ματρὶ σὺν κεραυνίᾳ·
καὶ νῦν, ὡς βιαίας ἔχεται
πάνδαμος πόλις ἐπὶ νόσου,
μολεῖν καθαρσίῳ ποδὶ Παρνασσίαν
ὑπὲρ κλιτύν, ἢ στονόεντα πορθμόν.

ἰὼ πῦρ πνειόντων — ἀντ.
χοράγ' ἄστρων, νυχίων

1122 *ματρόπολιν* Dindorf: *μητρόπολιν* (*μ̅ρ̅ο-* A) codd.: *ὁ μητρόπολιν* Musgrave 1123 *ναιετῶν* Dindorf: *ναίων* codd. *ὑγροῖς* Hartung: *ὑγρὸν* L A rec: *ὑγρῶν* T Dresd a (Tricl.) 1124 *ῥείθροις* Blaydes (*ῥεέθροις* iam Hartung): *ῥέεθρον* L A rec: *ῥεέθρων* T Dresd a: *ῥεῖθρόν τ'* Jebb (*ῥέεθρόν τ'* Benedict) 1126 *διλόφοιο* Dindorf 1129 *νύμφαι στείχουσι* codd.: corr. Blaydes: *νύμφαι στίχουσι* Dindorf (coll. Hesych. iv. 80) 1131 *Νυσαίων* L rec: *Νυσσαίων* rec: *Νισαίων* A 1134 *ἐπε-τᾶν* Pallis (*ἐπετῶν* Hartung): *ἐπέων* codd. 1135 *Θηβαίας* L A rec: corr. Hermann 1141 *πάνδημος* codd.: corr. Dindorf *ἐπὶ*] *ὑπὸ* Musgrave 1144 *Παρνασίαν* rec: *Παρνησίαν* L A rec Σ (*Παρνασσοῦ* et similia inde a v. 1126 Σ) 1146 *πνειόντων* Brunck: *πνεόντων* codd. $\Sigma^1$ 1147 *νυχίων* Brunck: *καὶ νυχίων* codd. $\Sigma^1$

φθεγμάτων ἐπίσκοπε,
παῖ Διὸς γένεθλον, προφάνηθ',
ὦναξ, σαῖς ἅμα περιπόλοις
Θυίαισιν, αἵ σε μαινόμεναι πάννυχοι
χορεύουσι τὸν ταμίαν Ἴακχον.

ΑΓΓΕΛΟΣ

Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπου βίον
οὔτ' αἰνέσαιμ' ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτός, ὡς ἐμοί, ποτέ,
σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,
λαβών τε χώρας παντελῆ μοναρχίαν
ηὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
καὶ νῦν ἀφεῖται πάντα. τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλῃ, μέγα,
καὶ ζῆ τύραννον σχῆμ' ἔχων, ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.
Χο. τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;
Αγ. τεθνᾶσιν· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν.

1149 sq. Διὸς codd.: Δῖον Seyffert: Ζηνὸς Bothe προφάνηθ' ὦναξ Bergk: προφάνηθι ναξίαις (ναξίας Ven c) L A rec Σ 1151 θυιάσιν L A rec: corr. Boeckh 1157 οὔτ' . . . οὔτε defendunt collato Plat. apol. 31 e 1158 καταρρέπει Σ$^{γρ}$ unde eum aliud in textu legisse veri simile est 1160 καθεστώτων] ἐφεστώτων Blaydes 1163 λαβών τε: λαβόντε L rec 1164 εὔθυνε codd.: corr. Dindorf θάλλων τε L$^{ac}$ εὐγενῆ L 1165 αἱ ἡδοναὶ legisse videtur Σ 1166 ἄνδρες Athen. 280 c, 547 c: ἀνδρός codd.: ἄνδρα Eustath. 957, 17 1167 om. codd. sed novisse videtur Σ. habent Athen. et Eustath. quorum hic apud τὰ ἀκριβῆ ἀντίγραφα exstare versum dicit. editorum primus adscivit Turnebus 1169 ζῇ rec: ζῆ L A rec

Χο. καὶ τίς φονεύει; τίς δ' ὁ κείμενος; λέγε.
Αγ. Αἵμων ὄλωλεν· αὐτόχειρ δ' αἱμάσσεται.
Χο. πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;
Αγ. αὐτὸς πρὸς αὑτοῦ, πατρὶ μηνίσας φόνου.
Χο. ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας.
Αγ. ὡς ὧδ' ἐχόντων τἄλλα βουλεύειν πάρα.
Χο. καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς ἢ τύχῃ περᾷ.

ΕΥΡΥΔΙΚΗ

ὦ πάντες ἀστοί, τῶν λόγων ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα, Παλλάδος θεᾶς
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω τε κλῇθρ' ἀνασπαστοῦ πύλης
χαλῶσα, καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος αὖθις εἴπατε·
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.

Αγ. ἐγώ, φίλη δέσποινα, καὶ παρὼν ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἂν ὧν ἐς ὕστερον
ψεῦσται φανούμεθ'; ὀρθὸν ἀλήθει' ἀεί.
ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μέν, αἰτήσαντες ἐνοδίαν θεὸν
Πλούτωνά τ' ὀργὰς εὐμενεῖς κατασχεθεῖν,
λούσαντες ἁγνὸν λουτρόν, ἐν νεοσπάσιν

1177 *φόνου* L[s] A rec : *φόνῳ* L 1182 *περᾷ* Brunck : *πάρα* codd. 1183 *τῶν λόγων* L rec : *τοῦ λόγου γ'* A rec 1186 *τε* L : *γε* L[s] A rec : *δὲ* Lb *κλῇθρ'* L rec : *κλεῖθρ'* A rec 1189 *δμωαῖσι*] *δμωαῖσσι* L : *δμώεσσι* L[s] Ven 1193 *παρήσω* L[s] A rec : *παρείσω* L 1197 *πεδίον ἐπ' ἄκρον* A Ven c : *πεδίον ἐπ' ἄκρων* L : *πεδίων ἐπ' ἄκρων* rec 1200 *κατασχέθειν* codd. : corr. Elmsley

θαλλοῖς ὃ δὴ 'λέλειπτο συγκατήθομεν,
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον Ἅιδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών·
τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον, οἰμώξας δ' ἔπος
ἵησι δυσθρήνητον, ὢ τάλας ἐγώ,
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλά, πρόσπολοι,
ἴτ' ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφῳ
ἀθρήσαθ', ἁρμὸν χώματος λιθοσπαδῆ
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον συνίημ', ἢ θεοῖσι κλέπτομαι.
τάδ' ἐξ ἀθύμου δεσπότου κελευσμάτων
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχῳ μιτώδει σινδόνος καθημμένην,
τὸν δ' ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον,
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν
καὶ πατρὸς ἔργα καὶ τὸ δύστηνον λέχος.
ὁ δ' ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας ἔσω
χωρεῖ πρὸς αὐτὸν κἀνακωκύσας καλεῖ·
ὦ τλῆμον, οἷον ἔργον εἴργασαι· τίνα
νοῦν ἔσχες; ἐν τῷ συμφορᾶς διεφθάρης;
ἔξελθε, τέκνον, ἱκέσιός σε λίσσομαι.
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,

1208 μολών] μαθών $L^s$ rec 1209 περιβάλλει Blaydes olim 1219 ὀξυθύμου anon. in ed. Lond. κελευσμάτων Burton : κελεύσμασιν (κελεύμασιν A Lb) codd. 1222 μιτώδει $L^s$ rec : μιτώδη $L^{ac}$ : μιτρώιδει (μιτρώδει) $L^c$ A rec Σ 1225 λάχος coni. Bergk 1228 οἷον] ποῖον L Ven

*πτύσας προσώπῳ κοὐδὲν ἀντειπών, ξίφους*
*ἕλκει διπλοῦς κνώδοντας, ἐκ δ' ὁρμωμένου*
*πατρὸς φυγαῖσιν ἤμπλακ'· εἶθ' ὁ δύσμορος*
*αὑτῷ χολωθείς, ὥσπερ εἶχ', ἐπενταθεὶς*
*ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ' ὑγρὸν*
*ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται·*
*καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει ῥοὴν*
*λευκῇ παρειᾷ φοινίου σταλάγματος.*
*κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ*
*τέλη λαχὼν δείλαιος εἰν Ἅιδου δόμοις,*
*δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν*
*ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.*
Χο. *τί τοῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν*
*φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.*
Αγ. *καὐτὸς τεθάμβηκ'· ἐλπίσιν δὲ βόσκομαι*
*ἄχη τέκνου κλύουσαν ἐς πόλιν γόου*
*οὐκ ἀξιώσειν, ἀλλ' ὑπὸ στέγης ἔσω*
*δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.*
*γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ' ἁμαρτάνειν.*
Χο. *οὐκ οἶδ'· ἐμοὶ δ' οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ*
*δοκεῖ προσεῖναι χἠ μάτην πολλὴ βοή.*
Αγ. *ἀλλ' εἰσόμεσθα, μή τι καὶ κατάσχετον*
*κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ,*
*δόμους παραστείχοντες· εὖ γὰρ οὖν λέγεις.*
*καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.*

Χο. *καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει*
*μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων,*
*εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν*
*ἄτην, ἀλλ' αὐτὸς ἁμαρτών.*

1232 *ξίφους* L^s A rec et ut videtur Σ: *ὅλως* L Liv v: *ὅλος* Ven  1236 *μέσσον* A rec: *μέσον* L rec  1238 *ῥοὴν* L rec: *πνοὴν* A rec Σ  1241 *εἰν* A rec: *ἐν* L rec: *ἔν γ'* Heath  1247 *γόου* (*γόων* Postgate) scripsi: *γόους* codd.  1248 *ἐξισώσειν* temptabam: *ἐξανήσειν* Blaydes: *ἐξιύξειν* J. U. Powell  1254 *καρδία* rec  *θυμουμένη* L^ac A rec: *θυμουμένῃ* L^c rec  1259 sq. *ἀλλοτρίας ἄτης* Musgrave

Κρ. ἰὼ *στρ.*
φρενῶν δυσφρόνων ἁμαρτήματα
στερεὰ θανατόεντ',
ὢ κτανόντας τε καὶ
θανόντας βλέποντες ἐμφυλίους.
ὤμοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, νέος νέῳ ξὺν μόρῳ,
αἰαῖ αἰαῖ,
ἔθανες, ἀπελύθης,
ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις.
Χο. οἴμ' ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.
Κρ. οἴμοι,
ἔχω μαθὼν δείλαιος· ἐν δ' ἐμῷ κάρᾳ
θεὸς τότ' ἄρα τότε μέγα βάρος μ' ἔχων
ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς,
οἴμοι λακπάτητον ἀντρέπων χαράν.
φεῦ φεῦ, ἰὼ πόνοι βροτῶν δύσπονοι.

ΕΞΑΓΓΕΛΟΣ
ὦ δέσποθ', ὡς ἔχων τε καὶ κεκτημένος,
τὰ μὲν πρὸ χειρῶν τάδε φέρειν, τὰ δ' ἐν δόμοις
ἔοικας ἥκων καὶ τάχ' ὄψεσθαι κακά.
Κρ. τί δ'; ἔστιν αὖ κάκιον ἢ κακῶν ἔτι;
Εξ. γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος, ἄρτι νεοτόμοισι πλήγμασιν.

Κρ. ἰώ, *ἀντ.*
ἰὼ δυσκάθαρτος Ἅιδου λιμήν,

1265 *ὤμοι* T : *ἰώ μοι* L A rec 1267 *αἶ αἶ αἶ αἶ* A rec : *αἶ αἶ αἶ* L rec 1270 *ἰδεῖν*] *ἔχειν* $\Sigma^{\gamma\rho}$ 1273 *μ'* om. rec 1275 *λακπάτητον* L rec et noverat Eustath. : *λαξπάτητον* rec Eustath. 625, 21 ; 796, 5 : *λεωπάτητον* A : *λαοπάτητον* $A^{\gamma\rho}$ 1276 *ἰὼ* L A rec : *ὦ* vulgo 1277 ΟΙΚΕΤΗΣ habent L A rec et 1282 : postea *αγ(γ)* 1279 sq. *φέρειν . . . ἥκων* (*φέρειν* iam Hartung, *ἥκων* Brunck) Blaydes : *φέρων . . . ἥκειν* codd. *τάχ'* L : *τάγ'* A rec : *τάδ'* rec 1281 post *τί δ'* distinxit Heidel : post *ἔστιν* Emperius : post *αὖ* Reiske *ἢ* Reiske : *ἢ* L A rec : *ἐκ* Canter 1284 sqq. choro tribuunt $L^{ac}$ A rec

τί μ' ἄρα τί μ' ὀλέκεις;
ὦ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἰαῖ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
τί φής, ὦ παῖ, τίνα λέγεις μοι νέον,
αἰαῖ αἰαῖ,
σφάγιον ἐπ' ὀλέθρῳ,
γυναικεῖον ἀμφικεῖσθαι μόρον;
Χο. ὁρᾶν πάρεστιν· οὐ γὰρ ἐν μυχοῖς ἔτι.
Κρ. οἴμοι,
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας, τὸν δ' ἔναντα προσβλέπω νεκρόν.
φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον.

Εξ. ἣ δ' ὀξύπληκτος ἠμένη δὲ βωμία
λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως κενὸν λέχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δὲ σοὶ κακὰς
πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.

Κρ. αἰαῖ αἰαῖ, στρ.
ἀνέπταν φόβῳ. τί μ' οὐκ ἀνταίαν
ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;

1286 ὦ Turneb : ἰὼ L A rec 1287 τίν' αὐδᾷς T 1289 ὦ παῖ τίνα] ὢ πόποι Menge μοι νέον Seidler : μοι νέον λόγον L A rec : νέον μοι λόγον Turneb : νέον μοι νέῳ (post Hermannum qui deleto ὦ παῖ νέον μοι νέον coniecerat) Donaldson 1290 αἶ αἶ αἶ αἶ Vat : αἶ αἶ αἶ L A rec 1293 choro Erfurdt, nuntio codices tribuunt 1298 τόνδ' ἔναντα A Σ$^{γρ}$ : τάδ' ἐναντία (h. e. ἔναντι (sscr. α)) L rec : τόν δ' ἐναντία rec : τόνδ' ἔναντι T 1301 sqq. choro vel nuntio (χο ἢ αγγε) tribuunt L A rec ὀξύπληκτος Hartung (ὀξεῖαν λαβοῦσα πληγήν Σ) : ὀξύθηκτος codd. : ὀξυθήκτῳ Arndt ἠμένη δὲ βωμία scripsi : ἡ δὲ (vel ἥδε) βωμία πέριξ codd. : βωμία περὶ ξίφει Arndt excidisse versum putabat Brunck 1303 κενὸν λέχος Seyffert : κλεινὸν λέχος codd. : κλεινὸν λάχος Bothe 1307 ἀνταίαν] καιρίαν Σ$^{γρ}$

δείλαιος ἐγώ, αἰαῖ,
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.

Εξ. ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ᾽ ἐπεσκήπτου μόρων.
Κρ. ποίῳ δὲ κἀπελύετ᾽ ἐν φοναῖς τρόπῳ;
Εξ. παίσασ᾽ ὑφ᾽ ἧπαρ αὐτόχειρ αὑτήν, ὅπως
παιδὸς τόδ᾽ ᾔσθετ᾽ ὀξυκώκυτον πάθος.

Κρ. ὤμοι μοι, τάδ᾽ οὐκ ἐπ᾽ ἄλλον βροτῶν στρ.
ἐμᾶς ἁρμόσει ποτ᾽ ἐξ αἰτίας.
ἐγὼ γάρ σ᾽ ἐγὼ 'κανον, ἰὼ μέλεος,
ἐγώ, φάμ᾽ ἔτυμον. ἰὼ πρόσπολοι,
ἀπάγετέ μ᾽ ὅτι τάχος, ἄγετέ μ᾽ ἐκποδών,
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.

Χο. κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.

ἀντ.
Κρ. ἴτω ἴτω,
φανήτω μόρων ὁ κάλλιστ᾽ ἐμῶν
ἐμοὶ τερμίαν ἄγων ἁμέραν
ὕπατος· ἴτω ἴτω,
ὅπως μηκέτ᾽ ἆμαρ ἄλλ᾽ εἰσίδω.

Χο. μέλλοντα ταῦτα. τῶν προκειμένων τι χρὴ
πράσσειν. μέλει γὰρ τῶνδ᾽ ὅτοισι χρὴ μέλειν.
Κρ. ἀλλ᾽ ὧν ἐρῶμεν ταῦτα συγκατηυξάμην.
Χο. μή νυν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.

1310 αἰαῖ Erfurdt: φεῦ φεῦ codd. (secl. Schroeder): ἰώ Bruhn 1313 μόρων rec: μόρωι L Lb: μόρω A rec 1314 κἀπελύετ᾽ scripsi: κἀπελύσατ᾽ codd. εἰς φονὰς L^s 1315 ὑφ᾽] ἐφ᾽ A^ac 1317 ἰώ μοι Erfurdt 1319 'κανον, ἰὼ Bruhn alii: ἔκανον, ὦ L A rec: ἔκτανον, ὦ rec 1321 ἀπάγετέ μ᾽ Schoene: ἄγετέ μ᾽ codd. τάχος] τάχιστ᾽ Erfurdt 1327 κράτιστα γὰρ τάχιστα Σγρ 1329 ἐμῶν L A rec Σ: ἔχων Pallis 1334 et 1337 nuntio tribuunt codd.: corr. Buttmann 1336 ἐρῶμεν Ven: ἐρῶ μέν A rec: ἐρῶ L F 1337 κατεύχου Aug b

Κρ. ἄγοιτ᾽ ἂν μάταιον ἄνδρ᾽ ἐκποδών, ἀντ.
ὅς, ὦ παῖ, σέ τ᾽ οὐχ ἑκὼν κατέκανον
σέ τ᾽ αὖ τάνδ᾽, ὤμοι μέλεος, οὐδ᾽ ἔχω
πρὸς πότερον ἴδω, πᾷ κλιθῶ· πάντα γὰρ
λέχρια τἀν χεροῖν, τὰ δ᾽ ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.

Χο. πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ᾽ ἐς θεοὺς
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτείσαντες
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

1340 σέ τ᾽ A Venc : σέ γ᾽ L rec  κατέκανον W. Schneider : κατέκτανον codd. : κάκτανον Hermann : ἔκτανον Musgrave  1341 σέ τ᾽ Hermann : ὃς σέ τ᾽ codd.  αὖ τάνδ᾽ Seidler : αὐτάν codd.  1343 πρὸς Seidler : ὅπᾳ πρὸς codd.  πότερον A rec : πρότερον L rec  κλιθῶ Musgrave : καὶ θῶ codd.  1345 τἀν Brunck : τάδ᾽ ἐν L A rec : τά τ᾽ ἐν T  τὰ δ᾽ ἐπὶ] τά τ᾽ ἐπὶ rec  1349 τά γ᾽ T : τά τ᾽ L A rec